Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: ies-aa

*Ζήνων ο Κιτιεύς* · Zeno of Citium

# Testimonies and Fragments

## *Μαρτυρίαι καὶ Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Stoic

1 Diog. Laërt. VII 1. Ζήνων Μνασέου ἢ Δημέου, Κιτιεὺς ἀπὸ Κύπρου, πολίσματος Ἑλληνικοῦ, Φοίνικας ἐποίκους ἐσχηκότος. Τὸν τράχηλον ἐπὶ θάτερα νενευκὼς ἦν, ὥς φησι Τιμόθεος ὁ Ἀθηναῖος ἐν τῷ περὶ βίων· καὶ Ἀπολλώνιος δέ φησιν ὁ Τύριος ὅτι ἰσχνὸς ἦν, ὑπομήκης, μελάγχρως—ὅθεν τις αὐτὸν εἶπεν Αἰγυπτίαν κληματίδα, καθά φησι Χρύσιππος ἐν πρώτῳ Παροιμιῶν—παχύκνημός τε καὶ ἀπαγὴς καὶ ἀσθενής· διὸ καί φησι Περσαῖος ἐν ὑπομνήμασι συμποτικοῖς τὰ πλεῖστα αὐτὸν δεῖπνα παραιτεῖσθαι. ἔχαιρε δέ, φασί, σύκοις χλωροῖς καὶ ἡλιοκαΐαις. Διήκουσε δέ, καθάπερ προείρηται, Κράτητος· εἶτα καὶ Στίλπωνος ἀκοῦσαί φασιν αὐτόν· καὶ Ξενοκράτους ἔτη δέκα, ὡς Τιμοκράτης ἐν τῷ Δίωνι· ἀλλὰ καὶ Πολέμωνος. Ἑκάτων δέ φησι καὶ Ἀπολλώνιος ὁ Τύριος ἐν πρώτῳ περὶ Ζήνωνος, χρηστηριασαμένου αὐτοῦ, τί πράττων ἄριστα βιώσεται, ἀποκρίνασθαι τὸν θεόν, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς· ὅθεν ξυνέντα τὰ τῶν ἀρχαίων ἀναγινώσκειν. τῷ γοῦν Κράτητι παρέβαλε τοῦτον τὸν τρόπον. πορφύραν ἐμπεπορευμένος ἀπὸ τῆς Φοινίκης πρὸς τῷ Πειραιεῖ ἐναυάγησεν. ἀνελθὼν δὲ εἰς τὰς Ἀθήνας ἤδη τριακοντούτης ἐκάθισε παρά τινα βιβλιοπώλην. ἀναγινώσκοντος δὲ ἐκείνου τὸ δεύτερον τῶν Ξενοφῶντος ἀπομνημονευμάτων, ἡσθεὶς ἐπύθετο ποῦ διατρίβοιεν οἱ τοιοῦτοι ἄνδρες. εὐκαίρως δὲ

2 παριόντος Κράτητος ὁ βιβλιοπώλης δείξας αὐτόν φησι· „τούτῳ παρακολούθησον.“ ἐντεῦθεν ἤκουε τοῦ Κράτητος, ἄλλως μὲν εὔτονος πρὸς φιλοσοφίαν, αἰδήμων δὲ ὡς πρὸς τὴν Κυνικὴν ἀναισχυντίαν. ὅθεν ὁ Κράτης βουλόμενος αὐτὸν καὶ τοῦτο θεραπεῦσαι δίδωσι χύτραν φακῆς διὰ τοῦ Κεραμεικοῦ φέρειν. ἐπεὶ δὲ εἶδεν αὐτὸν αἰδούμενον καὶ παρακαλύπτοντα, παίσας τῇ βακτηρίᾳ κατάγνυσι τὴν χύτραν· φεύγοντος δὲ αὐτοῦ καὶ τῆς φακῆς κατὰ τῶν σκελῶν ῥεούσης, φησὶν ὁ Κράτης· „τί φεύγεις, φοινικίδιον; οὐδὲν δεινὸν πέπονθας.“ ἕως μὲν οὖν τινος ἤκουε τοῦ Κράτητος· [ὅτε καὶ τὴν Πολιτείαν αὐτοῦ γράψαντος, τινὲς ἔλεγον παίζοντες ἐπὶ τῆς τοῦ κυνὸς οὐρᾶς αὐτὴν γεγραφέναι. γέγραφε δὲ πρὸς τῇ Πολιτείᾳ καὶ τάδε·] τελευταῖον δὲ ἀπέστη καὶ τῶν προειρημένων ἤκουσεν ἕως ἐτῶν εἴκοσιν· ἵνα καί φασιν αὐτὸν εἰπεῖν· „νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα.“ οἱ δὲ ἐπὶ τοῦ Κράτητος τοῦτ᾽ αὐτὸν εἰπεῖν· ἄλλοι δὲ διατρίβοντα ἐν ταῖς Ἀθήναις ἀκοῦσαι τὴν ναυαγίαν καὶ εἰπεῖν· „εὖ γε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ.“ ἔνιοι δὲ διαθέμενον Ἀθήνησι τὰ φορτία οὕτω τραπῆναι πρὸς φιλοσοφίαν. Ἀνακάμπτων δὴ ἐν τῇ ποικίλῃ στοᾷ τῇ καὶ Πεισιανακτίῳ καλουμένῃ, ἀπὸ δὲ τῆς γραφῆς τῆς

Πολυγνώτου ποικίλῃ, διέθετο τοὺς λόγους, βουλόμενος καὶ τὸ χωρίον ἀπερίστατον ποιῆσαι. ἐπὶ γὰρ τῶν τριάκοντα τῶν πολιτῶν πρὸς τοὺς χιλίους τετρακοσίους ἀνῄρηντο ἐν αὐτῷ. προσῄεσαν δὴ λοιπὸν ἀκούοντες αὐτοῦ καὶ διὰ τοῦτο Στωϊκοὶ ἐκλήθησαν καὶ οἱ ἀπ' αὐτοῦ ὁμοίως (πρότερον Ζηνώνειοι καλούμενοι, καθά φησι καὶ Ἐπίκουρος ἐν ἐπιστολαῖς———) οἵ καὶ τὸν λόγον ἐπὶ πλεῖον ηὔξησαν.

3 Ἐτίμων δὴ οὖν Ἀθηναῖοι σφόδρα τὸν Ζήνωνα οὕτως ὡς καὶ τῶν τειχῶν αὐτῷ τὰς κλεῖς παρακαταθέσθαι καὶ χρυσῷ στεφάνῳ τιμῆσαι καὶ χαλκῇ εἰκόνι. τοῦτο δὲ καὶ τοὺς πολίτας αὐτοῦ ποιῆσαι, κόσμον ἡγουμένους τὴν τἀνδρὸς εἰκόνα. ἀντεποιοῦντο δ' αὐτοῦ καὶ οἱ ἐν Σιδῶνι Κιτιεῖς. ἀπεδέχετο δ' αὐτὸν καὶ Ἀντίγονος καὶ εἴποτε Ἀθήναζε ἥκοι, ἤκουεν αὐτοῦ πολλά τε παρεκάλει ἀφικέσθαι ὡς αὐτόν. ὁ δὲ τοῦτο μὲν παρῃτήσατο, Περσαῖον δὲ ἕνα τῶν γνωρίμων ἀπέστειλεν, ὃς ἦν Δημητρίου μὲν υἱός, Κιτιεὺς δὲ τὸ γένος, καὶ ἤκμαζε κατὰ τὴν τριακοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, ἤδη γέροντος ὄντος Ζήνωνος. ἀπέστειλε δὲ Περσαῖον καὶ Φιλωνίδην τὸν Θηβαῖον, ὧν ἀμφοτέρων Ἐπίκουρος μνημονεύει ὡς συνόντων Ἀντιγόνῳ ἐν τῇ πρὸς Ἀριστόβουλον τὸν ἀδελφὸν ἐπιστολῇ Φησὶ δὲ Ἀντίγονος ὁ Καρύστιος οὐκ ἀρνεῖσθαι αὐτὸν εἶναι Κιτιέα· τῶν γὰρ εἰς τὴν ἐπισκευὴν τοῦ λουτρῶνος συμβαλλομένων εἷς ὢν καὶ ἀναγραφόμενος ἐν τῇ στήλῃ „Ζήνωνος τοῦ φιλοσόφου" ἠξίωσε καὶ τὸ Κιτιεὺς προστεθῆναι. Ποιήσας δέ ποτε κοῖλον ἐπίθημα τῇ ληκύθῳ περιέφερε νόμισμα, λύσιν ἑτοίμην τῶν ἀναγκαίων ἵν' ἔχοι Κράτης ὁ διδάσκαλος. φασὶ δ' αὐτὸν ὑπὲρ χίλια τάλαντα ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα καὶ ταῦτα δανείζειν ναυτικῶς. Ἤσθιε δὲ ἀρτίδια καὶ μέλι καὶ ὀλίγον εὐώδους οἰναρίου ἔπινε. παιδαρίοις τε ἐχρῆτο σπανίως, ἅπαξ ἢ δίς που παιδισκαρίῳ τινί, ἵνα μὴ δοκοίη μισογύνης εἶναι, σύν τε Περσαίῳ τὴν αὐτὴν οἰκίαν ᾤκει· καὶ αὐτοῦ αὐλητρίδιον εἰσαγαγόντος πρὸς αὐτόν, σπάσας πρὸς τὸν Περσαῖον αὐτὸ ἀπήγαγεν. ἦν τε, φασίν, εὐσυμπερίφορος, ὡς πολλάκις Ἀντίγονον τὸν βασιλέα ἐπικωμάσαι αὐτῷ καὶ πρὸς Ἀριστοκλέα τὸν κιθαρῳδὸν ἅμα αὐτῷ ἐλθεῖν ἐπὶ κῶμον, εἶτα μέντοι ὑποδῦναι.

4 Ἐξέκλινε δέ, φησί, καὶ τὸ πολυδημῶδες, ὡς ἐπ' ἄκρου καθίζεσθαι τοῦ βάθρου, κερδαίνοντα τὸ γοῦν ἕτερον μέρος τῆς ἐνοχλήσεως. οὐ μὴν οὐδὲ μετὰ πλειόνων δύο ἢ τριῶν περιεπάτει. ἐνίοτε δὲ καὶ χαλκὸν εἰσέπραττε τοὺς περιισταμένους ****** τὸ διδόναι μὴ ἐνοχλεῖν, καθά φησι Κλεάνθης ἐν τῶ περὶ χαλκο ῦ· πλειόνων τε περιστάντων αὐτόν, δείξας ἐν τῇ στοᾷ κατ' ἄκρου τὸ ξύλινον περιφερὲς τοῦ βωμοῦ ἔφη· „τοῦτό ποτε ἐν μέσῳ ἔκειτο, διὰ δὲ τὸ ἐμποδίζειν ἰδίᾳ ἐτέθη· καὶ ὑμεῖς οὖν ἐκ τοῦ μέσου βαστάσαντες αὑτοὺς ἧττον ἡμῖν ἐνοχλήσετε." Δημοχάρους δὲ τοῦ Λάχητος ἀσπαζομένου αὐτὸν καὶ φάσκοντος λέγειν καὶ γράφειν ὧν ἂν χρείαν ἔχῃ πρὸς Ἀντίγονον, ὡς ἐκείνου πάντα παρέξοντος, ἀκούσας οὐκέτ' αὐτῷ συνδιέτριψε. Λέγεται δὲ καὶ μετὰ τὴν τελευτὴν τοῦ Ζήνωνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἴη θέατρον ἀπολωλεκώς. ὅθεν καὶ διὰ Θράσωνος πρεσβευτοῦ παρὰ τῶν Ἀθηναίων ᾔτησεν αὐτῷ τὴν ἐν Κεραμεικῷ ταφήν. ἐρωτηθεὶς δέ, διὰ τί θαυμάζει αὐτόν „ὅτι, ἔφη, πολλῶν καὶ μεγάλων αὐτῷ διδομένων ὑπ' ἐμοῦ οὐδεπώποτε ἐχαυνώθη οὐδὲ ταπεινὸς ὤφθη." Ἦν δὲ καὶ ζητητικὸς καὶ περὶ πάντων ἀκριβολογούμενος, ὅθεν καὶ ὁ Τίμων ἐν τοῖς Σίλλοις φησὶν οὕτω (fr. VIII). ἐπιμελῶς δὲ καὶ πρὸς Φίλωνα τὸν διαλεκτικὸν διεκρίνετο καὶ συνεσχόλαζεν αὐτῷ· ὅθεν καὶ θαυμασθῆναι ὑπὸ Ζήνωνος τοῦ νεωτέρου οὐχ ἧττον Διοδώρου τοῦ διδασκάλου αὐτοῦ. ἦσαν δὲ περὶ αὐτὸν καὶ γυμνορύπαροί τινες, ὥς φησι καὶ ὁ Τίμων· (fr. XX). αὐτὸν δὲ στυγνόν τε εἶναι καὶ πικρόν· καὶ τὸ πρόσωπον συνεσπασμένον ἦν· εὐτελής τε σφόδρα καὶ βαρβαρικῆς ἐχόμενος μικρολογίας, προσχήματι οἰκονομίας. εἰ δέ τινα ἐπικόπτοι, περιεσταλμένως καὶ οὐχ ἄδην, ἀλλὰ πόρρωθεν

5 Συνδιέτριψε δὲ καὶ Διοδώρῳ, καθά φησιν Ἱππόβοτος, παρ' ᾧ καὶ τὰ διαλεκτικὰ ἐξεπόνησεν. ἤδη δὲ προκόπτων εἰσῄει καὶ πρὸς Πολέμωνα ὑπ' ἀτυφίας, ὥστε φασὶ λέγειν ἐκεῖνον· „οὐ λανθάνεις, ὦ Ζήνων, ταῖς κηπαίαις παρεισρέων θύραις καὶ τὰ δόγματα κλέπτων Φοινικικῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταμφιεννύς.“ καὶ πρὸς τὸν δείξαντα δὲ αὐτᾷ διαλεκτικὸν ἐν τῷ θερίζοντι λόγῳ ἑπτὰ διαλεκτικὰς ἰδέας, πυθέσθαι πόσας εἰσπράττεται μισθοῦ. ἀκούσαντα δὲ ἑκατόν, διακοσίας αὐτῷ δοῦναι. τοσοῦτον ἤσκει φιλομάθειαν. φασὶ δὲ καὶ——τοὺς Ἡσιόδου στίχους μεταγράφειν οὕτω· κεῖνος μὲν πανάριστος ὃς εὖ εἰπόντι πίθηται, ἐσθλὸς δ’ αὖ κἀκεῖνος ὃς αὐτὸς πάντα νοήσει. κρείττονα γὰρ εἶναι τὸν ἀκοῦσαι καλῶς δυνάμενον τὸ λεγόμενον καὶ χρῆσθαι αὐτῷ τοῦ δι’ αὑτοῦ τὸ πᾶν συννοήσαντος· τῷ μὲν γὰρ εἶναι μόνον τὸ συνεῖναι, τῷ δ’ εὖ πεισθέντι προσεῖναι καὶ τὴν πρᾶξιν. Ἐρωτηθεὶς δέ φησι διὰ τί αὐστηρὸς ὢν ἐν τῷ πότῳ διαχεῖται, ἔφη· „καὶ οἱ θέρμοι πικροὶ ὄντες βρεχόμενοι γλυκαίνονται.“ φησὶ δὲ καὶ Ἑκάτων ἐν τῷ δευτέρῳ τῶν Χρειῶν ἀνίεσθαι αὐτὸν ἐν ταῖς τοιαύταις κοινωνίαις. Ἦν δὲ καρτερικώτατος καὶ λιτότατος, ἀπύρῳ τροφῇ χρώμενος καὶ τρίβωνι λεπτῷ, ὥστε λέγεσθαι ἐπ’ αὐτοῦ· τὸν δ’ οὔτ’ ἂρ χειμὼν κρυόεις, οὐκ ὄμβρος ἀπείρων, οὐ φλὸξ ἠελίοιο δαμάζεται, οὐ νόσος αἰνή, οὐκ ἔροτις δήμου ἐναρίθμιος, ἀλλ’ ὅ γ’ ἀτειρὴς ἀμφὶ διδασκαλίῃ τέταται νύκτας τε καὶ ἦμαρ.

6 οἵ γε μὴν κωμικοὶ ἐλάνθανον ἐπαινοῦντες αὐτὸν διὰ τῶν σκωμμάτων. ἵνα καὶ Φιλήμων φησὶν οὕτως ἐν δράματι Φιλοσόφοις· εἷς ἄρτος, ὄψον ἰσχάς, ἐπιπιεῖν ὕδωρ. φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ, πεινῆν διδάσκει καὶ μαθητὰς λαμβάνει· οἱ δὲ Ποσειδίππου. ἤδη δὲ καὶ εἰς παροιμίαν σχεδὸν ἐχώρησεν. ἐλέγετο γοῦν ἐπ’ αὐτοῦ· „τοῦ φιλοσόφου Ζήνωνος ἐγκρατέστερος.“ ἀλλὰ καὶ Ποσείδιππος Μεταφερομένοις· „ὥστ’ ἐν ἡμέραις δέκα εἶναι δοκεῖν Ζήνωνος ἐγκρατέστερον.“ τῷ γὰρ ὄντι πάντας ὑπερεβάλλετο τῷ τε εἴδει τούτῳ καὶ τῇ σεμνότητι καὶ δὴ νὴ Δία καὶ μακαριότητι. Ὀκτὼ γὰρ πρὸς τοῖς ἐνενήκοντα βιοὺς ἔτη κατέστρεψεν, ἄνοσος καὶ ὑγιὴς διατελέσας. Περσαῖος δέ φησιν ἐν ταῖς ἠθικαῖς σχολαῖς δύο καὶ ἑβδομήκοντα ἐτῶν τελευτῆσαι αὐτόν, ἐλθεῖν δὲ Ἀθήναζε δύο καὶ εἴκοσι ἐτῶν· ὁ δ’ Ἀπολλώνιός φησιν ἀφηγήσασθαι τῆς σχολῆς αὐτὸν ἔτη δυοῖν δέοντα ἑξήκοντα. Ἐτελεύτα δὴ οὕτως· ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέῤῥηξε· παίσας δὲ τὴν γῆν τῇ χειρί, φησὶ τὸ ἐκ τῆς Νιόβης· „Ἔρχομαι· τί μ’ ἀΰεις;“ καὶ παραχρῆμα ἐτελεύτησεν, ἀποπνίξας ἑαυτόν. Ἀθηναῖοι δὲ ἔθαψαν αὐτὸν ἐν τᾷ Κεραμεικῷ καὶ ψηφίσμασι τοῖς προειρημένοις ἐτίμησαν, τὴν ἀρετὴν αὐτῷ προσμαρτυροῦντες. Φησὶ δὲ Δημήτριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις τὸν πατέρα αὐτοῦ Μνασέαν πολλάκις ἅτε ἔμπορον Ἀθήναζε παραγίνεσθαι καὶ πολλὰ τῶν Σωκρατικῶν βιβλίων ἀποφέρειν ἔτι παιδὶ ὄντι τῷ Ζήνωνι· ὅθεν καὶ ἐν τῇ πατρίδι συγκεκροτῆσθαι. καὶ οὕτως ἐλθόντα εἰς Ἀθήνας Κράτητι παραβαλεῖν. δοκεῖ δέ, φησί, καὶ τὸ τέλος αὐτὸς ὁρίσαι, τῶν πλανωμένων περὶ τὰς ἀποφάσεις. ὤμνυε δέ, φασί, καὶ κάππαριν, καθάπερ Σωκράτης τὸν κύνα.

7–8 Diog. Laërt. VII 10. ἔδοξε δέ μοι καὶ τὸ ψήφισμα τὸ περὶ αὐτοῦ τῶν Ἀθηναίων ὑπογράψαι καὶ ἔχει ὧδε· Ἐπ’ Ἀῤῥενίδου ἄρχοντος, ἐπὶ τῆς Ἀκαμαντίδος πέμπτης πρυτανείας, Μαιμακτηριῶνος δεκάτῃ ὑστέρᾳ, τρίτῃ καὶ εἰκοστῇ τῆς πρυτανείας, ἐκκλησία κυρία, τῶν προέδρων ἐπεψήφισεν Ἵππων Κρατιστοτέλους Ξυπεταιὼν καὶ οἱ συμπρόεδροι, Θράσων Θράσωνος Ἀνακαιεὺς εἶπεν· Ἐπειδὴ Ζήνων Μνασέου Κιτιεὺς ἔτη πολλὰ κατὰ φιλοσοφίαν ἐν τῇ πόλει γενόμενος ἔν τε τοῖς λοιποῖς ἀνὴρ ἀγαθὸς ὢν διετέλεσε καὶ τοὺς εἰς σύστασιν αὐτῷ τῶν νέων πορευομένους, παρακαλῶν ἐπ’ ἀρετὴν καὶ σωφροσύνην, παρώρμα πρὸς τὰ βέλτιστα, παράδειγμα τὸν ἴδιον βίον ἐκθεὶς ἅπασιν, ἀκόλουθον ὄντα τοῖς λόγοις οἷς διελέγετο, τύχῃ τῇ ἀγαθῇ δεδόχθαι τῷ δήμῳ ἐπαινέσαι μὲν Ζήνωνα Μνασέου Κιτιέα καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ κατὰ τὸν νόμον ἀρετῆς ἕνεκα καὶ σωφροσύνης, οἰκοδομῆσαι δὲ αὐτῷ καὶ τάφον ἐπὶ τοῦ Κεραμεικοῦ δημοσίᾳ. τῆς δὲ ποιήσεως τοῦ στεφάνου καὶ τῆς οἰκοδομῆς τοῦ τάφου χειροτονῆσαι τὸν δῆμον ἤδη τοὺς ἐπιμελησομένους πέντε ἄνδρας ἐξ Ἀθηναίων. ἐγγράψαι δὲ τὸ ψήφισμα τὸν γραμματέα τοῦ δήμου ἐν στήλαις δύο καὶ ἐξεῖναι αὐτῷ θεῖναι τὴν μὲν ἐν Ἀκαδημίᾳ, τὴν δὲ ἐν Λυκείῳ. τὸ δ’ ἀνάλωμα τὸ εἰς τὰς στήλας γινόμενον μερίσαι τὸν ἐπὶ τῆς διοικήσεως, ὅπως ἅπαντες ἴδωσιν ὅτι ὁ δῆμος ὁ τῶν Ἀθηναίων τοὺς ἀγαθοὺς καὶ ζῶντας τιμᾷ καὶ τελευτήσαντας. ἐπὶ δὲ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκοδομὴν κεχειροτόνηται Θράσων Ἀνακαιεύς, Φιλοκλῆς Πειραιεύς, Φαῖδρος Ἀναφλύστιος, Μέδων Ἀχαρνεύς, Μίκυθος Συπαληττεύς, Δίων Παιανιεύς.

9 Themistius Or. XXIII 295 D. Hard. τὰ δὲ ἀμφὶ Ζήνωνος ἀρίδηλά τέ ἐστι καὶ ᾀδόμενα ὑπὸ πολλῶν ὅτι αὐτὸν ἡ Σωκράτους ἀπολογία ἐκ Φοινίκης εἰς τὴν Ποικίλην ἤγαγεν.

10 Strabo XIII p. 614. ἐκ δὲ τῆς Πιτάνης ἐστὶν Ἀρκεσίλαος ὁ ἐκ τῆς Ἀκαδημίας, Ζήνωνος τοῦ Κιτιέως συσχολαστὴς παρὰ Πολέμωνι.

11 Numenius Eusebii praep. evang. XIV 5, 11 (p. 729b). Πολέμωνος δὲ ἐγένοντο γνώριμοι Ἀρκεσίλαος καὶ Ζήνω ν.——Ζήνωνα μὲν οὖν μέμνημαι εἰπὼν Ξενοκράτει, εἶτα δὲ Πολέμωνι φοιτῆσαι, αὖθις δὲ παρὰ Κράτητι κυνίσαι· νυνὶ δὲ αὐτῷ λελογίσθω ὅτι καὶ Στίλπωνός τε μετέσχε καὶ τῶν λόγων τῶν Ἡρακλειτείων. ἐπεὶ γὰρ συμφοιτῶντες παρὰ Πολέμωνι ἐφιλοτιμήθησαν ἀλλήλοις, συμπαρέλαβον εἰς τὴν πρὸς ἀλλήλους μάχην ὁ μὲν Ἡράκλειτον καὶ Στίλπωνα ἅμα καὶ Κράτητα, ὧν ὑπὸ μὲν Στίλπωνος ἐγένετο μαχητής, ὑπὸ δὲ Ἡρακλείτου αὐστηρός, κυνικὸς δὲ ὑπὸ Κράτητος. ὁ δὲ Ἀρκεσίλαος etc.

12 ibid. 6, 9 (p. 732b). διαστάντες δ’ οὖν εἰς τὸ φανερὸν ἔβαλλον ἀλλήλους οὐχ οἱ δύο, ἀλλ’ ὁ Ἀρκεσίλαος τὸν Ζήνωνα. ὁ γὰρ Ζήνων εἶχε δή τι τῇ μάχῃ σεμνὸν καὶ βαρὺ καὶ Κηφισοδώρου τοῦ ῥήτορος οὐκ ἄμεινον·—— ὁ μέντοι Ζήνων καὶ αὐτός, ἐπειδὴ τοῦ Ἀρκεσιλάου μεθίετο, εἰ μὲν μηδὲ Πλάτωνι ἐπολέμει, ἐφιλοσόφει δήπου ἐμοὶ κριτῇ πλείστου ἀξίως, ἕνεκά γε τῆς εἰρήνης ταύτης. ὁ δ’ οὐκ ἀγνοῶν μὲν ἴσως τὰ Ἀρκεσιλάου, τὰ μέντοι Πλάτωνος ἀγνοῶν, ὡς ἐξ ὧν αὐτῷ ἀντέγραψεν ἐλέγχεται, ὅτι ἐποίησεν ἐναντία καὐτός, μήτε ὃν ᾔδει πλήττων, ὅν τε οὐκ ἐχρῆν ἀτιμότατα καὶ αἴσχιστα περιυβρικώς, καὶ ταῦτα πολὺ κάκιον ἢ προσῆκε κυνί—πλὴν διέδειξέ γε μὴ μεγαλοφροσύνῃ ἀποσχόμενος τοῦ Ἀρκεσιλάου. ἤτοι γὰρ ἀγνοίᾳ τῶν ἐκείνου ἢ δέει [τῶν Στωϊκῶν] „πολέμοιο μέγα στόμα πευκεδανοῖο“ ( K 8 ) ἀπετρέψατο ἄλλῃ εἰς Πλάτωνα. ἀλλὰ [καὶ] περὶ μὲν τῶν Ζήνωνι εἰς Πλάτωνα καλῶς τε καὶ αἰδημόνως [οὐδαμῶς] νεωτερισθέντων εἰρήσεταί μοι αὖθίς ποτε ——τὸν δ’ οὖν Ζήνωνα ὁ Ἀρκεσίλαος ἀντίτεχνον καὶ ἀξιόνικον ὑπάρχοντα θεωρῶν τοὺς παρ’ ἐκείνου ἀποφερομένους λόγους καθῄρει καὶ οὐδὲν ὤκνει.——τὸ δὲ δόγμα τοῦτο αὐτοῦ πρώτου εὑρομένου, καὐτὸ καὶ τὸ ὄνομα βλέπων εὐδοκιμοῦν ἐν ταῖς Ἀθήναις, τὴν καταληπτικὴν φαντασίαν, πάσῃ μηχανῇ ἐχρῆτο ἐπ’ αὐτήν. ὁ δ’ ἐν τῷ ἀσθενεστέρῳ ὤν, ἡσυχίαν ἄγων οὐ δυνάμενος εὐδοκεῖσθαι, Ἀρκεσιλάου μὲν ἀφίετο, πολλὰ ἂν εἰπεῖν ἔχων (ἀλλ’ οὐκ ἤθελε, τάχα δὲ μᾶλλον ἄλλως), πρὸς δὲ τὸν οὐκέτι ἐν ζῶσιν ὄντα Πλάτωνα ἐσκιαμάχει καὶ τὴν ἀπὸ ἁμάξης πομπείαν πᾶσαν κατεθορύβει λόγων, ὡς οὔτ’ ἂν τοῦ Πλάτωνος ἀμυνομένου, ὑπερδικεῖν τε αὐτοῦ ἄλλῳ οὐδενὶ μέλον· εἴτε μελήσειεν Ἀρκεσιλάῳ, αὐτός γε κερδανεῖν ᾤετο ἀποτρεψάμενος ἀφ’ ἑαυτοῦ τὸν Ἀρκεσίλαον.

13 Cicero Acad. Post. I 34. Iam Polemonem audiverant adsidue Zeno et Arcesilas. Sed Zeno cum Arcesilam anteiret aetate valdeque subtiliter dissereret et peracute moveretur, corrigere conatus est disciplinam. Cicero de finibus IV 3. ut non esset causa Zenon i, cum Polemonem audisset, cur ab eo ipso et a superioribus dissideret.

14 Quintilianus Instit. orat. XII 7, 9. cum et Socrati collatum sit ad victum et Zeno n, Cleanthes, Chrysippus mercedes a discipulis acceptaverint.

15 Seneca ad Helviam cp. 12,4. Unum fuisse Homero servum, tres Platoni, nullum Zenoni, a quo coepit Stoicorum rigida ac virilis sapientia, satis constat.

16 Seneca de Benef. IV 39, 1. Quare ergo, inquit, Zeno vester, cum quingentos denarios cuidam mutuos promisisset et ipse illum parum idoneum comperisset, amicis suadentibus ne daret, perseveravit credere, quia promiserat?

17 Themistius orat. XXI 252B. Hard. πότε ἀφῆκας τῷ δεδανεισμένῳ, καθάπερ Ζήνων ὁ Κιτιεύς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18 Sopater phlyacographus apud Athen. IV 160e καὶ μὴν φιλοσοφεῖν φιλολογεῖν τ’ ἀκηκοὼς ὑμᾶς ἐπιμελῶς καρτερεῖν θ’ αἱρουμένους, τὴν πεῖραν ὑμῖν λήψομαι τῶν δογμάτων, πρῶτον καπνίζων· εἶτ’ ἐὰν ὀπτωμένων ἴδω τιν’ ὑμῶν συσπάσαντα τὸ σκέλος, Ζηνωνικῷ πραθήσεθ’ οὗτος κυρίῳ ἐπ’ ἐξαγωγῇ, τὴν φρόνησιν ἀγνοῶν.

19 Aelianus Var. Hist. IX 33. Μειράκιον Ἐρετρικὸν προσεφοίτησε Ζήνωνι πλείονος χρόνου, ἔστ’ ἐς ἄνδρας ἀφίκετο. ὕστερον οὖν ἐς τὴν Ἐρετρίαν ἐπανῆλθε, καὶ αὐτὸν ὁ πατὴρ ἤρετο ὅ, τι ἄρα μάθοι σοφὸν ἐν τῇ τοσαύτῃ διατριβῇ τοῦ χρόνου. ὁ δὲ δείξειν ἔφη καὶ οὐκ ἐς μακρὰν ἔδρασε τοῦτο. χαλεπήναντος γὰρ αὐτῷ τοῦ πατρὸς καὶ τέλος πληγὰς ἐντείναντος, ὁ δὲ τὴν ἡσυχίαν ἀγαγὼν καὶ ἐγκαρτερήσας τοῦτο ἔφη μεμαθηκέναι, φέρειν ὀργὴν πατέρων καὶ μὴ ἀγανακτεῖν.

20 Diogenes Laërt. VII 22. Ῥοδίου δέ τινος καλοῦ καὶ πλουσίου, ἄλλως δὲ μηδέν, προσκειμένου αὐτῷ, μὴ βουλόμενος ἀνέχεσθαι, πρῶτον μὲν ἐπὶ τὰ κεκονιμένα τῶν βάθρων ἐκάθιζεν αὐτόν, ἵνα μολύνῃ τὴν χλανίδα, ἔπειτα εἰς τὸν τῶν πτωχῶν τόπον, ὥστε συνανατρίβεσθαι τοῖς ῥάκεσιν αὐτῶν· καὶ τέλος ἀπῆλθεν ὁ νεανίσκος.

21 Timon Phliasius Sill. fr. XX W. ὄφρα πενεστάων σύναγεν νέφος, οἳ περὶ πάντων πτωχότατοί τ’ ἦσαν καὶ κουφότατοι βροτοὶ ἀστῶν. Diogenes Laërt. VII 16 ἦσαν περὶ αὐτὸν (scil. Zenonem) καὶ γυμνορρύπαροί τινες, ὥς φησι καὶ ὁ Τίμων „ὄφρα—ἀνδρῶν“

22 Timon Phliasius Sill. fr. VIII W. Καὶ φοίνισσαν ἴδον λιχνόγραυν σκιερῷ ἐνὶ τύφῳ πάντων ἱμείρουσαν· ὁ δ’ ἔρρει γυργαθὸς αὐτῆς μικρὸς ἰών· νοῦν δ’ εἶχεν ἐλάσσονα κινδαψοῖο. Diog. Laërt. VII 15 de Zenone: ἦν καὶ ζητητικὸς καὶ περὶ πάντων ἀκριβολογούμενος· ὅθεν καὶ ὁ Τίμων ἐν τοῖς Σίλλοις φησὶν οὕτω· „καὶ—κινδαψαῖο.“

23 Athenaeus XIII 603d. Ἀντιγόνου δὲ τοῦ βασιλέως ἐρώμενος ἦν Ἀριστοκλῆς ὁ κιθαρῳδός, περὶ οὗ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ Ζήνωνος βίῳ γράφει οὕτως· „Ἀντίγονος ὁ βασιλεὺς ἐπεκώμαζε τῷ Ζήνων ι. καί ποτε καὶ μεθ’ ἡμέραν ἐλθὼν ἔκ τινος πότου καὶ ἀναπηδήσας πρὸς τὸν Ζήνωνα ἔπεισεν αὐτὸν συγκωμάσαι αὐτῷ πρὸς Ἀριστοκλέα τὸν κιθαρῳδόν, οὗ σφόδρα ἤρα ὁ βασιλεύς.“

24 Ind. Stoic. Herc. col. IX πρὸς) μὲν γὰρ ἐκεῖνον, ὡς πρὸς ἴσον τε καὶ ὅμοιον, αὐ τῷ φιλονεικίαν ἡδεῖαν καὶ κεχαρισμένην ὑπο κεῖσθαι, τὸν (δ’) ἄνδρα θαυ μάζειν καὶ τι(μᾶ)ν καθ’ ὑ περβολήν.

25 Ind. Stoic. Herc. col. VIII. „ποιή)σειν (γ)ὰρ ἀδολε(σχοῦν)τα παι δία καὶ τ(οὺς ἀπα)ντῶν τας ἐπὶ τὴν θύραν· δια πορῶν δ’ ὅπου σε θῇ, μό λις ἂν φησι χαλκιοφύ λακα καταστῆσαι· καὶ γὰρ οὕτω κακόν· οὐκ ἔ σεσθαι ν(ου)θετε(ῖ)ν τοὺς παραχ(αράκτα)ς.“ Καὶ ὁ Ζ(ή) νων πρὸς τοὺς ξέ(νους) ἀπο(βλέ)ψας· „τί λέ(γετε, ἔφη ... etc.

26 Plutarchus de Stoic. repugn. cp. 4 p. 1034a. Ζήνων καὶ Κλεάνθης οὐκ ἠθέλησαν Ἀθηναῖοι γενέσθαι, μὴ δόξωσι τὰς αὑτῶν πατρίδας ἀδικεῖν· ὅτι μὲν εἰ καλῶς οὗτοι, Χρύσιππος οὐκ ὀρθῶς ἐποίησεν ἐγγραφεὶς εἰς τὴν πολιτείαν, παρείσθω.

27 Plutarchus de Stoic. repugn. cp. 2 p. 1033b. ἐπεὶ τοίνυν πολλὰ μὲν ὡς ἐν ὀλίγοις αὐτῷ Ζήνωνι, πολλὰ δὲ Κλεάνθει, πλεῖστα δὲ Χρυσίππῳ γεγραμμένα τυγχάνει περὶ πολιτείας καὶ τοῦ ἄρχεσθαι καὶ ἄρχειν καὶ δικάζειν καὶ ῥητορεύειν· ἐν δὲ τοῖς βίοις οὐδενὸς ἔστιν εὑρεῖν οὐ στρατηγίαν, οὐ νομοθεσίαν, οὐ πάροδον εἰς βουλήν, οὐ συνηγορίαν ἐπὶ δικαστῶν, οὐ στρατείαν ὑπὲρ πατρίδος, οὐ πρεσβείαν, οὐκ ἐπίδοσιν· ἀλλ’ ἐπὶ ξένης ὥσπερ τινὸς λωτοῦ γευσάμενοι σχολῆς τὸν πάντα βίον οὐ βραχὺν ἀλλὰ παμμήκη γενόμενον διήγαγον ἐν λόγοις καὶ βιβλίοις καὶ περιπάτοις· οὐκ ἄδηλον ὅτι τοῖς ὑφ’ ἑτέρων γραφομένοις καὶ λεγομένοις μᾶλλον ἢ τοῖς ὑφ’ αὑτῶν ὁμολογουμένως ἔζησαν. p. 1033e. τίς οὖν μᾶλλον ἐν τῷ σχολαστικῷ βίῳ τούτῳ κατεγήρασεν ἢ Χρύσιππος καὶ Κλεάνθης καὶ Διογένης καὶ Ζήνων καὶ Ἀντίπατρος, οἵ γε καὶ τὰς

αὑτῶν κατέλιπον πατρίδας, οὐδὲν ἐγκαλοῦντες ἀλλ’ ὅπως καθ’ ἡσυχίαν ἐν τῷ Ὠιδείῳ καὶ ἐπὶ Ζωστῆρος σχολάζοντες καὶ φιλολογοῦντες διάγωσιν;

28 Dio Chrysost. or. XLVII § 2 (V. II p. 81, 2 Arn.) ὡς ἐγὼ πρότερον μὲν ἐθαύμαζον τῶν φιλοσόφων τοὺς καταλιπόντας μὲν τὰς αὑτῶν πατρίδας οὐδενὸς ἀναγκάζοντος, παρ’ ἄλλοις δὲ ζῆν ἑλομένους, καὶ ταῦτα ἀποφαινομένους αὐτοὺς ὅτι δεῖ τὴν πατρίδα τιμᾶν καὶ περὶ πλείστου ποιεῖσθαι καὶ ὅτι πράττειν τὰ κοινὰ καὶ πολιτεύεσθαι τῷ ἀνθρώπῳ κατὰ φύσιν ἐστίν. λέγω δὲ τὸν Ζήνωνα, τὸν Χρύσιππον, τὸν Κλεάνθην, ὧν οὐδεὶς οἴκοι ἔμεινε ταῦτα λεγόντων.

29 Arrianus Epict. dissert. III 21, 19 (ὁ θεὸς) Σωκράτει συνεβούλευεν τὴν ἐλεγκτικὴν χώραν ἔχειν, ὡς Διογένει τὴν βασιλικὴν καὶ ἐπιπληκτικήν, ὡς Ζήνωνι τὴν διδασκαλικὴν καὶ δογματικήν.

30 Ind. Stoic. Herc. col. I θεν .......... (τ)ῆς περὶ τὴν (ψυχὴν) διαθέσεως αὐ(τοῦ ζητ)ήσας σημεῖον οὐκ ἂν ἕτερόν τις λάβοι βέλτιον· ἢ τὰς κρίσεις ἃς εἶχε(ν) περὶ καλῶν καὶ αἰσχρῶν, ὁμοίως δ’ ἀγαθῶν καὶ κακῶν διασκεψάμενο(ς ἐ)πενέγκῃ τ(ού)τοις. Ἀπ(ολ)λόδωρο(ς) μὲν γὰρ ὁ (Ἐπι)κούρει(ος) ἐν δυσὶ β(υβλίοις etc.

31 Ind. Stoic. Herc. col. III.—μενος ἐπιγραφ(ὴν περὶ) τοῦ τῆς οἰκείας αἱρ(έσεως) κα(θ)ηγεμόνος ἕ(τερά τε, ἐν) τούτοις κατὰ τὸ πλεῖσ(τον) τοῦ βυβλίου καταγενό μενος, ὡς προεμνή (σαμεν), ἰδίᾳ γέγραφεν (οἷα) βούλεται καὶ διότι σπανίως ἑαυτὸν διδοὺς (ὁ Ζήν)ων εἰς τὰς συμπε (ριφορὰς) διὰ τὴν τοῦ σώ (ματος ἀσθ)ένειαν, ὡς ἐν—etc.

32 Ind. Stoic. Herc. col. VI. τοῖς σύκοις καὶ τοὺς η . εασμοὺς (πρ)άως (κ)αὶ προθύμως ἔφερεν. (κ)αὶ ταῦτα γὰρ ἦν εἰς (τὸ)ν ὕμνον ἄξι α καταχωρίζειν κα(ὶ προς θ)εῖναι δ(η)μοσίαν τ(αφὴν τ)ὴν π .. etc.

32a Athenaeus IX 370 C. καὶ οὐ παράδοξον εἰ κατὰ τῆς κράμβης τινὲς ὤμνυον, ὁπότε καὶ Ζήνων ὁ Κιτιεὺς ὁ τῆς Στοᾶς κτίστωρ μιμούμενος τὸν κατὰ τῆς κυνὸς ὅρκον Σωκράτους καὶ αὐτὸς ὤμνυε τὴν κάππαριν, ὡς Ἔμπεδός φησιν ἐν Ἀπομνημονεύμασιν, cf. Diog. L. VII 32 ὤμνυε δέ, φασί, καὶ κάππαριν καθάπερ Σωκράτης τὸν κύνα.

33 Galenus de differentia pulsuum III 1 Vol. VIII p. 642 K. ἀρέσκονται γὰρ οὗτοι πάντες οἱ Πνευματικοὶ καλούμενοι (scil. medici) τοῖς ἀπὸ τῆς Στοᾶς δόγμασιν. ὥστ’ ἐπεὶ Χρύσιππος αὐτοὺς εἴθισεν ἀμφισβητεῖν περὶ τῶν κατὰ τὴν φιλοσοφίαν ὀνομάτων, οὐδ’ αὐτοὶ περὶ τῶν κατὰ τὴν ἰατρικὴν ταῦτα ποιεῖν ὀκνοῦσι. καὶ Ζήνων δὲ ὁ Κιτιεὺς ἔτι πρότερον ἐτόλμησε καινοτομεῖν τε καὶ ὑπερβαίνειν τὸ τῶν Ἑλλήνων ἔθος ἐν τοῖς ὀνόμασιν.

34 Cicero de fin. III 5. Quamquam ex omnibus philosophis Stoici plurima (scil. verba) novaverunt, Zenoqu e, eorum princeps, non tam rerum inventor fuit quam verborum novorum. III 15. Si enim Zenoni licuit, cum rem aliquam invenisset inusitatam, inauditum quoque ei rei nomen imponere, cur non liceat Catoni?

35 Cicero Tusc. disp. V 34. Zeno Citieu s, advena quidam et ignobilis verborum opifex, insinuasse se in antiquam philosophiam videtur.

36 Lucianus Macrob. 19. Ζήνων δὲ ὁ τῆς στωϊκῆς φιλοσοφίας ἀρχηγὸς ὀκτὼ καὶ ἐνενήκοντα (scil. ἔζησεν ἔτη), ὅν φασιν εἰσερχόμενον εἰς τὴν ἐκκλησίαν καὶ προσπταίσαντα ἀναφθέγξασθαι „τί με βοᾷς;“ καὶ ὑποστρέψαντα οἴκαδε καὶ ἀποσχόμενον τροφῆς τελευτῆσαι τὸν βίον.

36a Philodemus περὶ τῶν φιλοσόφων col. IV Neap. (= 3 Oxf.) ............. (ἄρχοντος Κλεά(ρχου Ἀθήνη)σι καὶ (ἐπ’ αὖ τούτου (γ)ε(γ)ραφὼς η .. αὐτὸν ενενς .. ηκ ......... γεγονότα κ(αὶ δύ’ ἔτη) ἐν (τῆι περιεχούσῃ τὰ πε(ρ)ὶ Ἀντιφῶν(τος ἐπιστολῇ. δεί(ξ)εται τ(ο)ίν(υν βεβι)ωκ(ὼ)ς ὁ Ζήνων (ἄχρι)ς ἔ(γγιστ)α τῶν ρ καὶ α ἐτῶν. Ἀ(πὸ Κλεάρχου γὰ(ρ) ἐπ’ (Ἀῤῥ)εν(είδην, ἐφ’ οὗ

Σκει(ροφοριῶν)ι (κ)ατα(τετελε(ύτη)κεν κ ... Ζ)ήνων απ ἐστὶν ἐ(ν)ν(έα καὶ) (τ)ριάκ(οντα. καὶ μὴν ἐ ............ νοσε

36b Pausanias I 29, 15 κεῖται δὲ καὶ Ζήνων ἐνταῦθα ὁ Μνασέου καὶ Χρύσιππος ὁ Σολεύ ς.

37 Strabo XVI p. 757. ἐκ Τύρου δὲ Ἀντίπατρος καὶ μικρὸν πρὸ ἡμῶν Ἀπολλώνιος ὁ τὸν πίνακα ἐκθεὶς τῶν ἀπὸ Ζήνωνος φιλοσόφων καὶ τῶν βιβλίων.

38 Diogenes Laërt. VII 36. Μαθηταὶ δὲ Ζήνωνος πολλοὶ μέν, ἔνδοξοι δὲ Περσαῖος Δημητρίου Κιτιεύς—— Ἀρίστων Μιλτιάδους Χῖος, ὁ τὴν ἀδιαφορίαν εἰσηγησάμενος. Ἥριλλος Καρχηδόνιος, ὁ τὴν ἐπιστήμην τέλος εἰπών· Διονύσιος ὁ μεταθέμενος εἰς τὴν ἡδονήν· διὰ γὰρ σφοδρὰν ὀφθαλμίαν ὤκνησεν ἔτι λέγειν τὸν πόνον ἀδιάφορον· οὗτος ἦν Ἡρακλεώτης. Κλεάνθης Φανίου Ἄσσιος, ὁ διαδεξάμενος τὴν σχολήν· ὃν καὶ ἀφωμοίου ταῖς σκληροκήροις δέλτοις, αἳ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα. Σφαῖρος Βοσποριανός· διήκουσε δ᾽ ὁ Σφαῖρος καὶ Κλεάνθους μετὰ τὴν Ζήνωνος τελευτήν.—ἦσαν δὲ Ζήνωνος μαθηταὶ καὶ οἵδε, καθά φησιν Ἱππόβοτος· Φιλωνίδης Θηβαῖος, Κάλλιππος Κορίνθιος, Ποσειδώνιος Ἀλεξανδρεύς, Ἀθηνόδωρος Σολεύς, Ζήνων Σιδώνιος.

39 Ind. Stoic. Herc. col. X 2. Κλεάν(θης Φ)αινίου Ἄσσιος, ὁ καὶ τ(ὴν) σ(χ)ολὴν παραλαβών· Διονύσι ος Θεοφάν(τ)ου, κα(θ)άπερ Ἀντίγονος ἔγραψεν, Ἡρα κλεώτης, ὁ Μεταθέμε νος· Ἀρίστων Μιλτιάδο(υ) Χῖος, ὁ τὴν ἀδιαφορία(ν) τέλος ἀποφηνάμενος, (ἐ)ν δὲ τοῖς ἄλλοις ἀκο (λουθε)ῖν οἰόμενος τῷ (καθη)γητῇ col. XI 2. Ζήνων Σιδώ(νιος ὁ καὶ) λεγόμενος ὑ ....... ὡς καὶ Χρύ(σιππος αὐ) τὸν ἐν (τῷ περὶ τοῦ διαλε) ληθότ(ος ......... πτειν col. XII. Ἀθηνόδωρος (Σολεύς, .. Ἑκαταῖος Σπινθ(άρου ἀ) πέδω(κεν).

40 Origenes c. Celsum III 54 Vol. I p. 250, 3 Kö. (p. 483 Del.). ἢ καὶ ἡμεῖς μέλλομεν ἐγκαλεῖν φιλοσόφοις οἰκότριβας ἐπ᾽ ἀρετὴν προτρεψαμένοις, Πυθαγόρᾳ μὲν τὸν Ζάμολξιν, Ζήνωνι δὲ τὸν Περσαῖον;

40a Plutarchus vita Cleom. 2. Ὁ δὲ Σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει τῶν Ζήνωνος τοῦ Κιτιέως μαθητῶν.

41 Diogenes Laërt. VII 4. Γέγραφε δὲ (ὁ Ζήνων) πρὸς τῇ Πολιτείᾳ καὶ τάδε· περὶ τοῦ κατὰ φύσιν βίου (181) (183) περὶ ὁρμῆς ἢ περὶ ἀνθρώπου φύσεως 179 περὶ παθῶν 211 περὶ τοῦ καθήκοντος (230) περὶ νόμου περὶ τῆς Ἑλληνικῆς παιδείας περὶ ὄψεως περὶ τοῦ ὅλου 97. 102. 117. 119 περὶ σημείων Πυθαγορικά Καθολικά περὶ λέξεων (77) προβλημάτων Ὁμηρικῶν πέντε (274. 275) περὶ ποιητικῆς ἀκροάσεως ἔστι δ᾽ αὐτοῦ καὶ Τέχνη καὶ Λύσεις καὶ Ἔλεγχοι δύο ἀπομνημονεύματα Κράτητος ἠθικά 273.

42 Ind. Stoic. Herc. col. IV. οὐ ταύτην μόνη(ν, ἀλλ᾽ ἀν) αισχυντη(σ)άντω(ν νοθεῦ) σαι καὶ προσυποπτε(ῦσαι τὴν ὑπὸ Ζήνων(ος νεωσ) τὶ συνεῤῥαμμέν(ην) καθ᾽ ὃν τρόπον ἐν (ἄ)λλοις δ(ακ)τύ λῳ δείκνυται.

43 Clemens Alex. Strom. V 9 p. 680 Pott. ἀλλὰ καὶ οἱ Στωϊκοὶ λέγουσι Ζήνωνι τῷ πρώτῳ γεγράφθαι τινά, ἃ μὴ ῥᾳδίως ἐπιτρέπουσι τοῖς μαθηταῖς ἀναγιγνώσκειν μὴ οὐχὶ πεῖραν δεδωκόσι πρότερον, εἰ γνησίως φιλοσοφοῖεν.

44 Quintilianus Instit. orat. XII 1, 18. quodsi defuit his viris (scil. Ciceroni similibus) summa virtus, sic quaerentibus, an oratores fuerint, respondebo quomodo Stoici si interrogentur, an sapiens Zen o, an Cleanthes, an Chrysippus ipse, respondeant: magnos quidem illos ac venerabiles, non tamen id, quod natura hominis summum habet, consecutos.

45 Diogenes Laërt. VII 39. τριμερῆ φασὶν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον. εἶναι γὰρ αὐτοῦ τὸ μέν τι φυσικόν· τὸ δὲ ἠθικόν· τὸ δὲ λογικόν. οὕτω δὲ πρῶτος διεῖλε Ζήνων ὁ Κιτιεὺς ἐν τῷ περὶ

λόγο υ. Cicero de fin. IV 4 totam philosophiam tris in partis diviserunt (scil. veteres Academici), quam partitionem a Zenone esse retentam videmus.

46 Diogenes Laërt. VII 40. ἄλλοι δὲ πρῶτον μὲν τὸ λογικὸν τάττουσι· δεύτερον δὲ τὸ φυσικόν· καὶ τρίτον τὸ ἠθικόν. ὧν ἐστι Ζήνων ἐν τῷ περὶ λόγο υ.

47 Cicero de finibus IV 9. De quibus (scil. de ratione disserendi) etsi a Chrysippo maxime est elaboratum, tamen a Zenone minus multo quam ab antiquis.

48 Arrianus Epict. diss. I 17. 10, 11. τὰ λογικὰ ... τῶν ἄλλων ἐστὶ διακριτικὰ καὶ ἐπισκεπτικὰ καὶ ὡς ἄν τις εἴποι μετρητικὰ καὶ στατικά· τίς λέγει ταῦτα; μόνος Χρύσιππος καὶ Ζήνων καὶ Κλεάνθης; Ἀντισθένης δ' οὐ λέγει;

49 Stobaeus Ecl. II 2. 12 p. 22, 12 W. Ζήνων τὰς τῶν διαλεκτικῶν τέχνας εἴκαζε τοῖς δικαίοις μέτροις οὐ πυρὸν οὐδ' ἄλλο τι τῶν σπουδαίων μετροῦσιν ἀλλ' ἄχυρα καὶ κόπρια.

50 Plutarchus de Stoic. repugn. cp. 8 p. 1034f. ἔλυε δὲ (scil. Zeno) σοφίσματα καὶ τὴν διαλεκτικὴν ὡς τοῦτο ποιεῖν δυναμένην ἐκέλευε παραλαμβάνειν τοὺς μαθητάς.

51 Arrianus Epict. diss. IV 8, 12. θεωρήματα τοῦ φιλοσόφου ... ἃ Ζήνων λέγει, γνῶναι τὰ τοῦ λόγου στοιχεῖα, ποῖόν τι ἕκαστον αὐτῶν ἐστι καὶ πῶς ἁρμόττεται πρὸς ἄλληλα καὶ ὅσα τούτοις ἀκόλουθά ἐστι.

52 Cicero Acad. Pr. II 66. Sapientis autem hanc censet Arcesilas vim esse maximam, Zenoni adsentiens, cavere ne capiatur, ne fallatur videre.

53 Cicero Acad. post. I 42. Errorem autem et temeritatem et ignorantiam et opinationem et suspicionem et uno nomine omnia, quae essent aliena firmae et constantis adsensionis, a virtute sapientiaque removebat.

54 Cicero pro Mur. § 61. sapientem nihil opinari, nullius rei paenitere, nulla in re falli, sententiam mutare numquam.— Acad. pr. II 113. sapientem nihil opinari ... horum neutrum ante Zenonem magno opere defensum est.— Lactantius Inst. III 4. ergo si neque sciri quidquam potest, ut Socrates docuit, nec opinari oportet, ut Zeno, tota philosophia sublata est.— Augustinus contra Acad. II 11. cum ab eodem Zenone accepissent nihil esse turpius quam opinari.

55 Cicero Acad. post. I 40. Plurima etiam in illa tertia philosophiae parte mutavit (scil. Zen o). In qua primum de sensibus ipsis quaedam dixit nova, quos iunctos esse censuit e quadam quasi impulsione oblata extrinsecus, quam ille φαντασίαν, nos visum appellemus licet.

56 Numenius apud. Euseb. praep. evang. XIV 6, 13. τὸ δὲ δόγμα τοῦτο αὐτοῦ πρώτου εὑρομένου (scil. Ζήνωνος), καὐτὸ καὶ τὸ δὲ δόγμα βλέπων εὐδοκιμοῦν ἐν ταῖς Ἀθήναις, τὴν καταληπτικὴν φαντασίαν, πάσῃ μηχανῇ ἐχρῆτο ἐπ' αὐτήν (scil. Arcesilaus).

57 Galenus de optima doctrina 1 Vol. I p. 41 K. Stoicorum vocabula καταληπτόν, κατάληψις, καταληπτικὴ φαντασία, ἀκατάληπτος, ἀκαταληψία vituperat, ut parum Attica.

58 Sextus adv. math. VII 236. ὅταν λέγῃ ὁ Ζήνων φαντασίαν εἶναι τύπωσιν ἐν ψυχῇ, ἀκουστέον etc. ibid. 230. αὐτὸς οὖν (scil. Chrysippus) τὴν τύπωσιν εἰρῆσθαι ὑπὸ τοῦ Ζήνωνος ὑπενόει ἀντὶ τῆς ἑτεροιώσεως.

59 Cicero Acad. pr. II 18. cum enim ita negaret quidquam esse quod comprehendi posset——si illud esset, sicut Zeno definiret, tale visum (= φαντασία)—— impressum effictumque ex e o , unde esse t , quale esse non posset ex eo unde non esset (id nos a Zenone definitum rectissime dicimus——) hoc cum infirmat tollitque Philo etc. ibid. 77. quaesivit de Zenone fortasse (scil. Arcesilas), quid futurum esset, si nec percipere quicquam posset sapiens nec opinari sapientis esset. Ille, credo, nihil opinaturu m , quoniam esset quod percipi posse t. Quid ergo id esset?

Visu m, credo. Quale igitur visum? Tum illum ita definisse: ex eo quod esse t , sicut esse t , impressum et signatum et effictu m. Post requisitum, etiamne, si eiusmodi esset visum verum, quale vel falsum. Hic Zenonem vidisse acute nullum esse visum, quod percipi posset, si id tale esset ab eo, quod est, ut eiusmodi ab eo, quod non est, posset esse. Recte consensit Arcesilas ad definitionem additum. August. c. Acad. III 9, 18. sed videamus quid ait Zen o. Tale scilicet visum comprehendi et percipi posse, quale cum falso non haberet signa communia.

60 Cicero Acad. Post. I 41. Visis non omnibus adiungebat fidem sed iis solum, quae propriam quandam haberent declarationem earum rerum quae viderentur; id autem visum cum ipsum per se cerneretur, comprehendibile —(feretis hoc?.—Nos vero, inquam; quonam enim alio modo καταληπτόν diceres?) sed cum acceptum iam et approbatum esset, comprehensionem appellabat, similem iis rebus, quae manu prehenderentur; ex quo etiam nomen hoc duxerat, cum eo verbo antea nemo tali in re usus esset; plurimisque idem novis verbis (nova enim dicebat) usus est. quod autem erat sensu comprehensum, id ipsum sensum appellabat, et, si ita erat comprehensum, ut convelli ratione non posset, scientia m, sin aliter inscientiam nominabat; ex qua exsisteret etiam opini o, quae esset imbecilla et cum falso incognitoque communis.— 42. Sed inter scientiam et inscientiam comprehensionem illam quam dixi, collocabat, eamque neque in rectis neque in pravis numerabat, sed soli credendum esse dicebat. E quo sensibus etiam fidem tribuebat, quod, ut supra dixi, comprehensio facta sensibus et vera esse illi et fidelis videbatur, non quod omnia, quae essent in re, comprehenderet, sed quia nihil, quod cadere in eam posset, relinqueret, quodque natura quasi normam scientiae et principium sui dedisset, unde postea notiones rerum in animis imprimerentur, e quibus non principia solum, sed latiores quaedam ad rationem inveniendam viae aperirentur. Errorem autem et temeritatem et ignorantiam et opinationem et suspicionem et uno nomine omnia, quae essent aliena firmae et constantis adsensionis, a virtute sapientiaque removebat.

61 Cicero Acad. post. I 40. Zeno ad haec quae visa sunt et quasi accepta sensibus assensionem adiungit animorum: quam esse vult in nobis positam et voluntariam.

62 Cicero Acad. post. I 41. Quod autem erat sensu comprehensum, id ipsum sensum appellabat.

63 Sextus adv. Math. VIII 355. Ἐπίκουρος δὲ πᾶν αἰσθητὸν ἔλεξε βέβαιον εἶναι, ὁ δὲ Στωικὸς Ζήνων διαιρέσει ἐχρῆτο. Cicero de nat. deor. I 70. urgebat Arcesilas Zenonem, cum ipse falsa omnia diceret quae sensibus viderentur; Zeno autem nonnulla visa esse falsa, non omnia.— Cicero Acad. post. I 41. visis non omnibus adjungebat fidem.

64 Chrysippus apud Sext. adv. math. VII 373. ἀλλ᾽ εἰ τοῦτο, ἀναιρεῖται μὲν μνήμη θησαυρισμὸς οὖσα φαντασιῶ ν.

65 Stobaeus Ecl. I p. 136, 21 W. Ζήνωνος 〈καὶ τῶν ἀπ᾽ αὐτοῦ〉 . τὰ ἐννοήματά φασι μήτε τινὰ εἶναι μήτε ποιά, ὡσανεὶ δέ τινα καὶ ὡσανεὶ ποιὰ φαντάσματα ψυχῆς· ταῦτα δὲ ὑπὸ τῶν ἀρχαίων ἰδέας προσαγορεύεσθαι. τῶν γὰρ κατὰ τὰ ἐννοήματα ὑποπιπτόντων εἶναι τὰς ἰδέας, οἷον ἀνθρώπων, ἵππων, κοινότερον εἰπεῖν πάντων τῶν ζῴων καὶ τῶν ἄλλων ὁπόσων λέγουσιν ἰδέας εἶναι. ταύτας δὲ οἱ Στωικοὶ φιλόσοφοί φασιν ἀνυπάρκτους εἶναι, καὶ τῶν μὲν ἐννοημάτων μετέχειν ἡμᾶς, τῶν δὲ πτώσεων, ἃς δὴ προσηγορίας καλοῦσι, τυγχάνειν. Aët. Plac. I 10, 5. οἱ ἀπὸ Ζήνωνος Στωικοὶ ἐννοήματα ἡμέτερα τὰς ἰδέας ἔφασαν.—Diog. Laërt. VII 61. ἐννοήμα δέ ἐστι φάντασμα διανοίας, οὔτε τὶ ὂν οὔτε ποιόν, ὡσανεὶ δέ τι ὂν καὶ ὡσανεὶ ποιόν, οἷον γίνεται ἀνατύπωμα ἵππου καὶ μὴ παρόντος.

66

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Cicero Acad. pr. II 144. Negat enim vos Zeno—scire quicquam. Quo modo? inquies; nos enim defendimus etiam insipientem multa comprehendere. At scire negatis quemquam rem ullam nisi sapientem. Et hoc quidem Zeno gestu conficiebat. Nam, cum extensis digitis adversam manum ostenderat, „visum“ inquiebat „huiusmodi est.“ Deinde, cum paullum digitos contraxerat, „adsensus huiusmodi.“ Tum cum plane compresserat pugnumque fecerat, comprehensionem illam esse dicebat: qua ex similitudine etiam nomen ei rei, quod antea non fuerat, κατάληψιν imposuit. Cum autem laevam manum admoverat et illum pugnum arte vehementerque compresserat scientiam talem esse dicebat, cuius compotem nisi sapientem esse neminem.

67 Sextus adv. math. VII 151. δόξαν εἶναι τὴν ἀσθενῆ καὶ ψευδῆ συγκατάθεσιν.

68 Cicero Acad. post. I 41. si ita erat comprehensum, ut convelli ratione non posset, scientiam, sin aliter, inscientiam nominabat. (Zeno). Stobaeus Ecl. II p. 73, 19 W. εἶναι τὴν ἐπιστήμην κατάληψιν ἀσφαλῆ καὶ ἀμετάπτωτον ὑπὸ λόγου.—ib. p. 111, 20. τὴν ἄγνοιαν μεταπτωτικὴν εἶναι συγκατάθεσιν καὶ ἀσθενῆ.—Sextus adv. math. VII 151. ἐπιστήμην εἶναι τὴν ἀσφαλῆ καὶ βεβαίαν καὶ ἀμετάθετον ὑπὸ λόγου κατάληψιν.—Diogenes Laërt. VII 47. αὐτήν τε τὴν ἐπιστήμην φασὶν ἢ κατάληψιν ἀσφαλῆ, ἢ ἕξιν ἐν φαντασιῶν προσδέξει ἀμετάπτωτον ὑπὸ λόγου.

69 Cicero Acad. I 42. inter scientiam et inscientiam comprehensionem collocabat, eamque neque in rectis neque in pravis numerabat. Sextus adv. math. VII 151. ἐπιστήμην καὶ δόξαν καὶ τὴν ἐν μεθορίᾳ τούτων τεταγμένην κατάληψιν ... κατάληψιν δὲ τὴν μεταξὺ τούτων. ib. 153 ὁ Ἀρκεσίλαος ... δεικνὺς ὅτι οὐδέν ἐστι μεταξὺ ἐπιστήμης καὶ δόξης κριτήριον ἡ κατάληψις. Cf. II n. 90.

70 Anonymi variae collectiones mathematicae in Hultschiana Heronis geometricorum et stereometricorum editione p. 275. Ταύρου Σιδονίου ἔστιν ὑπόμνημα εἰς Πολιτείαν Πλάτωνος ἐν ᾧ ἐστι ταῦτα· ὡρίσατο ὁ Πλάτων τὴν γεωμετρίαν ... Ἀριστοτέλης δ’ ... Ζήνων δὲ ἕξιν ἐν προσδέξει φαντασιῶν ἀμετάπτωτον ὑπὸ λόγου.

71 Diogenes Laërt. VII 23. ἔλεγε δὲ μηδὲν εἶναι τὴς οἰήσεως ἀλλοτριώτερον πρὸς κατάληψιν τῶν ἐπιστημῶν.

72 Schol. ad Dionys. Thracis Gramm. ap. Bekk. Anecd. p. 663, 16. ὡς δηλοῖ καὶ ὁ Ζήνων λέγων „τέχνη ἐστὶν ἕξις ὁδοποιητική“ τουτέστι δι’ ὁδοῦ καὶ μεθόδου ποιοῦσά τι.

73 Olympiodorus in Plat. Gorg. pp. 53, 54 (ed. Jahn nov. ann. philol. supplement. XIV 1848 p. 239, 240). Ζήνων δέ φησιν ὅτι τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.—Lucianus Paras. c. 4. τέχνη ἐστίν, ὡς ἐγὼ διαμνημονεύω σοφοῦ τινος ἀκούσας, σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.—Schol. ad. Ar. Nub. 317. οὕτω γὰρ ὁριζόμεθα τὴν τέχνην οἷον σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων καὶ τὰ ἐφεξῆς.—Sextus adv. math. II 10. πᾶσα τοίνυν τέχνη σύστημά ἐστιν ἐκ καταλήψεων συγγεγυμνασμένων καὶ ἐπὶ τέλος εὔχρηστον τῷ βίῳ λαμβανόντων τὴν ἀναφοράν.—id. Pyrrh. III 188, 241, 251, Math. I 75, VII 109, 373, 182. Schol. Dionys. Thrac. p. 649,31, ib. p. 721,25. οἱ Στωικοὶ οὕτως ὁρίζονται τὴν τέχνην· τέχνη ἐστὶ σύστημα περὶ ψυχὴν γενόμενον ἐκ καταλήψεων ἐγγεγυμνασμένων κ.τ.λ. Quintil. II 17, 41. ille ab omnibus fere probatus finis artem constare ex perceptionibus consentientibus et coexercitatis ad finem utilem vitae.— Cicero ap. Diomed. II p. 421 K. ars est perceptionum exercitarum constructio ad unum exitum utilem vitae pertinentium.— Acad. pr. II 22. ars vero quae potest esse nisi quae non ex una aut duabus sed ex multis animi perceptionibus constat.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

— de fin. III 18. artes 898989 constent ex cognitionibus et contineant quiddam in se ratione constitutum et via.— de nat. deor. II 148. ex quibus (perceptis) collatis inter se et comparatis artes quoque efficimus partim ad usum vitae 898989 necessarias.

74 Eustath. in II. S 506, p. 1158, 37. ἠεροφώνους κήρυκας Ὅμηρος κἀνταῦθα εἰπὼν τὸν κατὰ Ζήνωνα τῆς φωνῆς ὅρον προϋπέβαλεν εἰπόντα· „φωνή ἐστιν ἀὴρ πεπληγμένος.“

75 Sextus adv. math. II 7. ἔνθεν γοῦν καὶ Ζήνων ὁ Κιτιεὺς ἐρωτηθεὶς ὅτῳ διαφέρει διαλεκτικὴ ῥητορικῆς συστρέψας τὴν χεῖρα καὶ πάλιν ἐξαπλώσας ἔφη „τούτῳ“ κατὰ μὲν τὴν συστροφὴν τὸ στρογγύλον καὶ βραχὺ τῆς διαλεκτικῆς τάττων ἰδίωμα, διὰ δὲ τῆς ἐξαπλώσεως καὶ ἐκτάσεως τῶν δακτύλων τὸ πλατὺ τῆς ῥητορικῆς δυνάμεως αἰνιττόμενος. Cicero de fin. II 17. Zenonis est, inquam, hoc Stoici: omnem vim loquendi, ut jam ante Aristoteles, in duas tributam esse partes, rhetoricam palmae, dialecticam pugni similem esse dicebat, quod latius loquerentur rhetores, dialectici autem compressius.— Orat. 32, 113. Zeno quidem ille, a quo disciplina Stoicorum est, manu demonstrare solebat quid inter has artes interesset, nam cum compresserat digitos pugnumque fecerat, dialecticam aiebat eiusmodi esse; cum autem diduxerat et manum dilataverat, palmae illius similem eloquentiam esse dicebat.— Quint. Inst. Or. II 20, 7. Itaque cum duo sint genera orationis, altera perpetua, quae rhetorice dicitur, altera concisa, quae dialectice; quas quidem Zeno adeo coniunxit ut hanc compressae in pugnum manus, illam explicatae diceret similem etc.

76 Cicero de flnibus IV 7. Totum genus hoc Zeno et qui ab eo sunt, aut non potuerunt 〈tueri〉 aut noluerunt, certe reliquerunt.

77 Cicero ad famil. IX 22, 1. Amo verecundiam, 〈tu autem 89898989 .. iam〉 vel potius libertatem loquendi. Atqui hoc Zenoni placuit— homini mehercule acuto, etsi Academiae nostrae cum eo magna rixa est —sed, ut dico, placet Stoicis suo quamque rem nomine appellare. Sic enim disserunt: nihil esse obscenum, nihil turpe dictu; nam, si quod sit in obscenitate flagitium, id aut in re esse aut in verbo; nihil esse tertium. In re non est. Itaque non modo in comoediis res ipsa narratur ( secuntur exempl a) sed etiam in tragoediis ( se c . exempl a). Vides igitur cum eadem res sit, quia verba non sint, nihil videri turpe. Ergo in re non est. Multo minus in verbis. Si enim quod verbo significatur, id turpe non est, verbum, quod significat, turpe esse non potest ( se c . exempla latin a). Non ergo in verbo est; docui autem in re non esse; nusquam igitur est ( secuntur plura exempl a , deinde § 5). Habes scholam Stoicam: ὁ σοφὸς εὐθυρρημονήσει. ——ego servo— verecundiam. Itaque tectis verbis ea ad te scripsi, quae apertissimis agunt Stoici; sed illi etiam crepitus aiunt aeque liberos ac ructus esse oportere. idem de offic. I 128. nec vero audiendi sunt Cynici, aut si qui fuerunt Stoici paene Cynici, qui reprehendunt et inrident, quod ea, quae turpia non sint, verbis flagitiosa ducamus, illa autem, quae turpia sint, nominibus appellemus suis. Latrocinari, fraudare, adulterare re turpe est, sed dicitur non obscene; liberis dare operam re honestum est, nomine obscenum; pluraque in eam sententiam ab eisdem contra verecundiam disputantur.

78 Plutarchus de Stoic. rep. 8, 1 p. 1034e. πρὸς τὸν εἰπόντα μηδὲ δίκην δικάσῃς πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς ἀντέλεγεν ὁ Ζήνων, τοιούτῳ τινὶ λόγῳ χρώμενος· εἴτ’ ἀπέδειξεν ὁ πρότερος εἰπών, οὐκ ἀκουστέον τοῦ δευτέρου λέγοντος· πέρας γὰρ ἔχει τὸ ζητούμενον· εἴτ’ οὐκ ἀπέδειξεν· ὅμοιον γὰρ ὡς εἰ μηδὲ ὑπήκουσε κληθεὶς ἢ ὑπακούσας ἐτερέτισεν· ἤτοι δ’ ἀπέδειξεν ἢ οὐκ ἀπέδειξεν· οὐκ ἀκουστέον ἄρα τοῦ δευτέρου λέγοντος. Schol. ad Lucian. de calumnia cp. 8.

79 Quintilianus Inst. Or. IV 2. 117. hic expressa (verba) et ut vult Zeno sensu tincta esse debebunt.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

80 Plutarchus vita Phoc. 5. ὡς γὰρ ὁ Ζήνων ἔλεγεν, ὅτι δεῖ τὸν φιλόσοφον εἰς νοῦν ἀποβάπτοντα προφέρεσθαι τὴν λέξιν etc. (Zen. apophth. 304).

81 Diogenes Laërt. VII 18. ἔφασκε δὲ τοὺς μὲν τῶν ἀσολοίκων λόγους καὶ ἀπηρτισμένους ὁμοίους εἶναι τῷ ἀργυρίῳ τῷ Ἀλεξανδρίνῳ· εὐοφθάλμους μὲν καὶ περιγεγραμμένους, καθὰ καὶ τὸ νόμισμα, οὐδὲν δὲ διὰ ταῦτα βελτίονας. τοὺς δὲ τοὐναντίον ἀφωμοίου τοῖς Ἀττικοῖς τετραδράχμοις εἰκῆ κεκομμένοις καὶ σολοίκως, καθέλκειν μέντοι πολλάκις τὰς κεκαλλιγραφημένας λέξεις.

82 Zonarae Lex. s. v. σολοικίζειν col. 1662. σολοικίζειν οὐ μόνον τὸ κατὰ φωνὴν καὶ λόγον χωρικεύεσθαι, ἀλλὰ καὶ ἐπὶ ἐνδυμάτων ὅταν τις χωρικῶς ἐνδιδύσκηται ἢ ἀτάκτως ἐσθίῃ ἢ ἀκόσμως περιπατῇ, ὥς φησι Ζήνων.—Cyrilli Lex. ap. Cramer. anecd. Paris. IV p. 190. σολοικισμός· ὅτε τις ἀτέχνως διαλέγεται· σολοικίζειν οὐ μόνον τὸ κατὰ λέξιν καὶ φωνὴν ἰδιωτεύειν, ἀλλὰ καὶ ἐπὶ φορημάτων, ὅταν τις χωρικῶς ἐνδέδυται ἢ ἀτάκτως ἐσθίει ἢ ἀκόσμως περιπατεῖ, ὥς φησι Ζήνων ὁ Κιτιεύς.

83 Anonymi τέχνη ap. Spengel Rhet. Gr. I 434, 23. Ζήνων δὲ οὕτω φησί· διήγησίς ἐστι τῶν ἐν τῇ ὑποθέσει πραγμάτων ἔκθεσις εἰς τὸ ὑπὲρ τοῦ λέγοντος πρόσωπον ῥέουσα.

84 Anonymi τέχνη ap. Spengel Rhet. Gr. I 447, 11. ὡς δὲ Ζήνων· παράδειγμά ἐστι γενομένου πράγματος ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ νῦν ζητουμένου.

85 Diogenes Laërt. VII 134. δοκεῖ δ’ αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον. τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν τὴν ὕλην· τὸ δὲ ποιοῦν τὸν ἐν αὐτῇ λόγον τὸν θεόν. τοῦτον γὰρ ἀΐδιον ὄντα διὰ πάσης αὐτῆς δημιουργεῖν ἕκαστα. τίθησι δὲ τὸ δόγμα τοῦτο Ζήνων ὁ Κιτιεὺς ἐν τῷ περὶ οὐσία ς.—Aëtius I 3, 25 (DDG p. 289). Ζήνων Μνασέου Κιτιεὺς ἀρχὰς μὲν τὸν θεὸν καὶ τὴν ὕλην, ὧν ὁ μέν ἐστι τοῦ ποιεῖν αἴτιος, ἡ δὲ τοῦ πάσχειν, στοιχεῖα δὲ τέσσαρα.—Achilles Tat. p. 124E. Ζήνων ὁ Κιτιεὺς ἀρχὰς εἶναι λέγει τῶν ὅλων θεὸν καὶ ὕλην, θεὸν μὲν τὸ ποιοῦν, ὕλην δὲ τὸ ποιούμενον, ἀφ’ ὧν τὰ τέσσαρα στοιχεῖα γεγονέναι. Philo. de Provid. I 22. Zeno Mnaseae filius aerem deum materiam et elementa quatuor.— Theodoret. Gr. cur. aff. IV 12. Ζήνων δὲ ὁ Κιτιεύς, ὁ Μνασέου, ὁ Κράτητος φοιτητής, ὁ τῆς Στωικῆς ἄρξας αἱρέσεως, τὸν θεὸν καὶ τὴν ὕλην ἀρχὰς ἔφησεν εἶναι.

86 Chalcidius in Tim. c. 290. Plerique tamen silvam separant ab essentia, ut Zeno et Chrysippus. Silvam quippe dicunt esse id quod subest his omnibus quae habent qualitates, essentiam vero primam rerum omnium silvam vel antiquissimum fundamentum earum, suapte natura sine vultu et informe: ut puta aes, aurum, ferrum, et caetera huius modi silva est eorum, quae ex iisdem fabrefiunt, non tamen essentia. At vero quod tam his quam ceteris ut sint causa est, ipsum esse substantiam.

87 Stobaeus Ecl. I 11.5a, p. 132,26 W. (Arii Didymi fr. 20 Diels). Ζήνωνος· οὐσίαν δὲ εἶναι τὴν τῶν ὄντων πάντων πρώτην ὕλην, ταύτην δὲ πᾶσαν ἀΐδιον καὶ οὔτε πλείω γιγνομένην οὔτε ἐλάττω· τὰ δὲ μέρη ταύτης οὐκ ἀεὶ ταὐτὰ διαμένειν ἀλλὰ διαιρεῖσθαι καὶ συγχεῖσθαι. διὰ ταύτης δὲ διαθεῖν τὸν τοῦ παντὸς λόγον, ὃν ἔνιοι εἱμαρμένην καλοῦσιν, οἷόνπερ καὶ ἐν τῇ γονῇ τὸ σπέρμα.—Epiphan. Haeres. I 5, DDG p. 588. φάσκει οὖν καὶ οὗτος (Ζήνων) τὴν ὕλην σύγχρονον καλῶν τῷ θεῷ ἴσα ταῖς ἄλλαις αἱρέσεσιν. εἱμαρμένην τε εἶναι καὶ γένεσιν ἐξ ἧς τὰ πάντα διοικεῖται καὶ πάσχει.—Diogenes Laërt. VII 150. οὐσίαν δέ φασι τῶν ὄντων ἁπάντων τὴν πρώτην ὕλην ὡς ... Ζήνων ... καλεῖται δὲ διχῶς οὐσία τε καὶ ὕλη ἥ τε τῶν πάντων καὶ ἡ τῶν ἐπὶ μέρους. ἡ μὲν οὖν τῶν ὅλων οὔτε πλείων οὔτε ἐλάττων γίνεται· ἡ δὲ τῶν ἐπὶ μέρους καὶ πλείων καὶ ἐλάττων.

88

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Chalcidius in Tim. c. 292. Deinde Zeno hanc ipsam essentiam finitam esse dicit unamque eam communem omnium quae sunt esse substantiam, dividuam quoque et usque quaque mutabilem: partes quippe eius verti, sed non interire, ita ut de existentibus consumantur in nihilum. Sed ut innumerabilium diversarum, etiam cerearum figurarum, sic neque formam neque figuram nec ullam omnino qualitatem propriam fore censet fundamenti rerum omnium silvae, coniunctam tamen esse semper et inseparabiliter cohaerere alicui qualitati. Cumque tam sine ortu sit quam sine interitu, quia neque de non existente subsistit neque consumetur in nihilum, non deesse ei spiritum ac vigorem ex aeternitate, qui moveat eam rationabiliter totam interdum, nonnumquam pro portione, quae causa sit tam crebrae tamque vehementis universae rei conversionis; spiritum porro motivum illum fore non naturam, sed animam et quidem rationabilem, quae vivificans sensilem mundum exornaverit eum ad hanc, qua nunc inlustratur, venustatem. Quem quidem beatum animal et deum adpellant.

89 Stobaeus Ecl. I p. 138,14 W. (Ar. Did. fr. 18 p. 457, Diels). αἴτιον δ’ ὁ Ζήνων φησὶν εἶναι δι’ ὅ· οὗ δὲ αἴτιον συμβεβηκός· καὶ τὸ μὲν αἴτιον σῶμα, οὗ δὲ αἴτιον κατηγόρημα· ἀδύνατον δ’ εἶναι τὸ μὲν αἴτιον παρεῖναι, οὗ δέ ἐστιν αἴτιον μὴ ὑπάρχειν. τὸ δὲ λεγόμενον τοιαύτην ἔχει δύναμιν· αἴτιόν ἐστι δι’ ὃ γίγνεταί τι, οἷον διὰ τὴν φρόνησιν γίνεται τὸ φρονεῖν καὶ διὰ τὴν ψυχὴν γίνεται τὸ ζῆν καὶ διὰ τὴν σωφροσύνην γίνεται τὸ σωφρονεῖν. ἀδύνατον γὰρ εἶναι σωφροσύνης περί τινα οὔσης μὴ σωφρονεῖν ἢ ψυχῆς μὴ ζῆν ἢ φρονήσεως μὴ φρονεῖν.

90 Cicero Acad. Post. I 39. Discrepabat etiam ab iisdem quod nullo modo arbitrabatur quidquam effici posse ab ea (natura), quae expers esset corporis——nec vero aut quod efficeret aliquid aut quod efficeretur, posse esse non corpus.

91 Aëtius I 15, 6 (DDG p. 313). Ζήνων ὁ Στωικὸς τὰ χρώματα πρώτους εἶναι σχηματισμοὺς τῆς ὕλης.—Galen. hist. philos. 27 (DDG p. 616, 2). Ζήνων δὲ ὁ Στωϊκὸς τὰ χρώματα ἐπίχρωσιν τῆς ὕλης ὑπέλαβεν.

92 Galenus comment. in Hippocr. de humoribus I (XVI 32 K.). Ζήνων τε ὁ Κιτιεὺς ὡς τὰς ποιότητας οὕτω καὶ τὰς οὐσίας δι’ ὅλου κεράννυσθαι ἐνόμιζεν.—id. de nat. facult. I 2. εἰ δ’ ὥσπερ τὰς ποιότητας καὶ τὰς οὐσίας δι’ ὅλων κεράννυσθαι χρὴ νομίζειν, ὡς ὕστερον ἀπεφήνατο Ζήνων ὁ Κιτιεύς.

93 Stobaeus Ecl. I 8. 40e p. 104, 7 W. (Arii Didymi fr. 26 Diels). Ζήνων ἔφησε χρόνον εἶναι κινήσεως διάστημα, τοῦτο δὲ καὶ μέτρον καὶ κριτήριον τάχους τε καὶ βραδύτητος ὅπως ἔχει 〈ἕκαστα〉. κατὰ τοῦτον δὲ γίγνεσθαι τὰ γινόμενα καὶ τὰ περαινόμενα ἅπαντα καὶ τὰ ὄντα εἶναι.—Simplicius ad Cat. 80 a 4. τῶν δὲ Στωικῶν Ζήνων μὲν πάσης ἁπλῶς κινήσεως διάστημα τὸν χρόνον εἶναι.

94 Themistius in Phys. 40b Speng. II 284, 10. (τὸ κενὸν) κεχωρισμένον καὶ ἀθρόον εἶναι καθ’ αὑτό, περιέχον τὸν οὐρανόν, ὡς πρότερον μὲν ᾤοντο τῶν ἀρχαίων τινές, μετὰ δὲ ταῦτα οἱ περὶ Ζήνωνα τὸν Κιτιέα.

95 Aëtius I 18,5 et 20,1 (DDG p. 316b 11, 317b 31). Ζήνων καὶ οἱ ἀπ’ αὐτοῦ ἐντὸς μὲν τοῦ κόσμου μηδὲν εἶναι κενόν, ἔξω δ’ αὐτοῦ ἄπειρον. διαφέρειν δὲ κενόν, τόπον, χώραν· καὶ τὸ μὲν κενὸν εἶναι ἐρημίαν σώματος, τὸν δὲ τόπον τὸ ἐπεχόμενον ὑπὸ σώματος, τὴν δὲ χώραν τὸ ἐκ μέρους ἐπεχόμενον, ὥσπερ ἐπὶ τῆς τοῦ οἴνου πιθάκνης.—Theodoret IV 14. ἐντὸς μὲν τοῦ παντὸς μηδὲν εἶναι κενόν, ἐκτὸς δὲ αὐτοῦ πάμπολύ τε καὶ ἄπειρον.

96 Philoponus in Aristot. Phys. p. 613, 23. μὴ κατεσπάρθαι μὲν ἐν τοῖς σώμασιν (scil. κενόν), ἀλλ’ εἶναι συνεχῆ, ἔξω δὲ τοῦ οὐρανοῦ εἶναι κενόν τι καθ’ αὑτό, ὥσπερ μάλιστα καὶ ἡ τῶν πολλῶν

ἔχει φαντασία, ἄπειρόν τι νομίζουσα εἶναι κενὸν ἔξω τοῦ οὐρανοῦ. καὶ οἱ Πυθαγόρειοι δὲ οὕτως ἔλεγον, ὡς ἤδη εἶπε. φασὶ δὲ καὶ τοὺς περὶ Ζήνωνα τὸν Κιτιέα οὕτω δοξάζειν.

97 Diogenes Laërt. VII 143. ὅτι τε εἷς ἐστιν (ὁ κόσμος) Ζήνων φησὶν ἐν τῷ περὶ τοῦ ὅλο υ.—Aëtius II 1, 2 (DDG p. 327b 8) Ζήνων ἕνα εἶναι τὸν κόσμον. Theodoret. graec. aff. cur. IV 15.

98 Aristocles (ἀπὸ τοῦ ζ′ περὶ φιλοσοφίας) apud Eusebium praep. evang. XV p. 816d. (Περὶ τῆς τῶν Στωϊκῶν φιλοσοφίας ὅπως τε ὁ Ζήνων τὸν περὶ ἀρχῶν ἀπεδίδου λόγον). Στοιχεῖον εἶναί φασι τῶν ὄντων τὸ πῦρ, καθάπερ Ἡράκλειτος, τούτου δ' ἀρχὰς ὕλην καὶ θεόν, ὡς Πλάτων. ἀλλ' οὗτος ἄμφω σώματά φησιν εἶναι, καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον, ἐκείνου τὸ πρῶτον ποιοῦν αἴτιον ἀσώματον εἶναι λέγοντος. ἔπειτα δὲ καὶ κατά τινας εἱμαρμένους χρόνους ἐκπυροῦσθαι τὸν σύμπαντα κόσμο ν , εἶ τ ' αὖθις πάλιν διακοσμεῖσθα ι. τὸ μέντοι πρῶτον πῦρ εἶναι καθαπερεί τι σπέρμα, τῶν ἁπάντων ἔχον τοὺς λόγους καὶ τὰς αἰτίας τῶν γεγονότων καὶ τῶν γιγνομένων καὶ τῶν ἐσομένων· τὴν δὲ τούτων ἐπιπλοκὴν καὶ ἀκολουθίαν εἱμαρμένην καὶ ἐπιστήμην καὶ ἀλήθειαν καὶ νόμον εἶναι τῶν ὄντων ἀδιάδραστόν τινα καὶ ἄφυκτον. ταύτῃ δὲ πάντα διοικεῖσθαι τὰ κατὰ τὸν κόσμον ὑπέρε υ , καθάπερ ἐν εὐνομωτάτῃ τινὶ πολιτεί ᾳ.

99 Stobaeus Ecl. I 19, 4 p. 166, 4 W. (Arii Didymi fr. phys. 23 Diels). Ζήνωνος. τῶν δ' ἐν τῷ κόσμῳ πάντων τῶν κατ' ἰδίαν ἕξιν συνεστώτων τὰ μέρη τὴν φορὰν ἔχειν εἰς τὸ τοῦ ὅλου μέσον, ὁμοίως δὲ καὶ αὐτοῦ τοῦ κόσμου· διόπερ ὀρθῶς λέγεσθαι πάντα τὰ μέρη τοῦ κόσμου ἐπὶ τὸ μέσον τοῦ κόσμου τὴν φορὰν ἔχειν, μάλιστα δὲ τὰ βάρος ἔχοντα. ταὐτὸν δ' αἴτιον εἶναι καὶ τῆς τοῦ κόσμου μονῆς ἐν ἀπείρῳ κενῷ καὶ τῆς γῆς παραπλησίως ἐν τῷ κόσμῳ, περὶ τὸ τούτου κέντρον καθιδρυμένης ἰσοκρατῶς. οὐ πάντως δὲ σῶμα βάρος ἔχειν, ἀλλ' ἀβαρῆ εἶναι ἀέρα καὶ πῦρ· τείνεσθαι δὲ καὶ ταῦτά πως ἐπὶ τὸ τῆς ὅλης σφαίρας τοῦ κόσμου μέσον, τὴν δὲ σύστασιν πρὸς τὴν περιφέρειαν αὐτοῦ ποιεῖσθαι· φύσει γὰρ ἀνώφοιτα ταῦτ' εἶναι διὰ τὸ μηδενὸς μετέχειν βάρους. παραπλησίως δὲ τούτοις οὐδ' αὐτόν φασι τὸν κόσμον βάρος ἔχειν διὰ τὸ τὴν ὅλην αὐτοῦ σύστασιν ἔκ τε τῶν βάρος ἐχόντων στοιχείων εἶναι καὶ ἐκ τῶν ἀβαρῶν. τὴν δ' ὅλην γῆν καθ' ἑαυτὴν μὲν ἔχειν ἀρέσκει βάρος, παρὰ δὲ τὴν θέσιν διὰ τὸ τὴν μέσην ἔχειν χώραν, πρὸς δὲ τὸ μέσον εἶναι τὴν φορὰν τοῖς τοιούτοις σώμασιν, ἐπὶ τοῦ τόπου τούτου μένειν.

100 Schol. Hes. Theog. 134 Gaisf. Gr. Poet. Min. II 482. ὁ Ζήνων φησὶ τοὺς Τιτᾶνας διὰ παντὸς εἰρῆσθαι τὰ στοιχεῖα τοῦ κόσμου. Κοῖον γὰρ λέγει τὴν ποιότητα κατὰ τροπὴν Ἀιολικὴν τοῦ π πρὸς τὸ κ, Κρεῖον δὲ τὸ βασιλικὸν καὶ ἡγεμονικόν, Ὑπερίονα δὲ τὴν ἄνω κίνησιν ἀπὸ τοῦ ὑπεράνω ἰέναι. ἐπεὶ δὲ φύσιν ἔχει πάντα τὰ κοῦφα ἀφιέμενα πίπτειν ἄνω, τὸ τοιοῦτον μέρος Ἰάπετον ἐκάλεσε.

101 Aëtius I 14, 6 (DDG p. 313b 1). Ζήνων ἔφασκε τὸ πῦρ κατ' εὐθεῖαν κινεῖσθαι.—idem I 12, 4 (de Stoicorum placito). καὶ τὸ μὲν περίγειον φῶς κατ' εὐθεῖαν, τὸ δ' αἰθέριον περιφερῶς κινεῖται.

102 Stobaeus Ecl. I 17, 3 p. 152, 19 W. (Arii Didymi fr. 38 Diels). Ζήνωνα δὲ οὕτως ἀποφαίνεσθαι διαῤῥήδην· τοιαύτην δὲ δεήσει εἶναι ἐν περιόδῳ τὴν τοῦ ὅλου διακόσμησιν ἐκ τῆς οὐσίας, ὅταν ἐκ πυρὸς τροπὴ εἰς ὕδωρ δι' ἀέρος γένηται, τὸ μέν τι ὑφίστασθαι καὶ γῆν συνίστασθαι, [καὶ] ἐκ τοῦ λοιποῦ δὲ τὸ μὲν διαμένειν ὕδωρ, ἐκ δὲ τοῦ ἀτμιζομένου ἀέρα γίνεσθαι, ἐκ τινὸς δὲ τοῦ ἀέρος πῦρ ἐξάπτεσθαι, τὴν δὲ [μῖξιν] κρᾶσιν γίνεσθαι τῇ εἰς ἄλληλα τῶν στοιχείων μεταβολῇ, σώματος ὅλου δι' ὅλου τινὸς ἑτέρου διερχομένου. Diog. Laërt. VII 135, 136. ἕν τε εἶναι θεὸν καὶ νοῦν καὶ εἱμαρμένην καὶ Δία πολλαῖς τε ἑτέραις ὀνομασίαις προσονομάζεσθαι. κατ' ἀρχὰς μὲν οὖν καθ' αὑτὸν ὄντα τρέπειν τὴν πᾶσαν οὐσίαν δι' ἀέρος εἰς ὕδωρ· καὶ ὥσπερ ἐν τῇ γονῇ τὸ σπέρμα περιέχεται, οὕτω καὶ τοῦτον σπερματικὸν λόγον ὄντα τοῦ κόσμου, τοιόνδε ὑπολείπεσθαι ἐν τῷ ὑγρῷ, εὐεργὸν αὑτῷ ποιοῦντα τὴν ὕλην πρὸς τὴν τῶν ἑξῆς γένεσιν· εἶτα ἀπογεννᾶν πρῶτον τὰ τέσσαρα στοιχεῖα πῦρ, ὕδωρ, ἀέρα, γῆν. λέγει δὲ περὶ αὐτῶν Ζήνων ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ περὶ τοῦ ὅλο υ.—idem VII 142. γίνεσθαι δὲ τὸν κόσμον ὅταν ἐκ πυρὸς ἡ οὐσία τραπῇ δι’ ἀέρος εἰς ὑγρότητα, εἶτα τὸ παχυμερὲς αὐτοῦ συστὰν ἀποτελεσθῇ γῆ, τὸ δὲ λεπτομερὲς ἐξαερωθῇ, καὶ τοῦτ’ ἐπὶ πλέον λεπτυνθὲν πῦρ ἀπογεννήσῃ· εἶτα κατὰ μῖξιν ἐκ τούτων φυτά τε καὶ ζῷα καὶ τὰ ἄλλα γένη. περὶ δὴ οὖν τῆς γενέσεως καὶ τῆς φθορᾶς τοῦ κόσμου φησὶ Ζήνων μὲν ἐν τῷ περὶ ὅλο υ, κ.τ.λ. Probus ad Verg. p. 10, 33 K. ex his (quatuor elementis) omnia esse postea effigiata Stoici tradunt Zenon Citieus et Chrysippus Solaeus et Cleanthes Assius.

103 Valerius Probus in Virg. Ecl. VI 31, p. 21, 14 Keil. sunt qui singulis elementis principia adsignaverunt ... Thales Milesius magister eius (scil. Anaximenis) aquam. Hanc quidem Thaletis opinionem ab Hesiodo putant manare qui dixerit: ἤτοι μὲν πρώτιστα χάος γένετ’, αὐτὰρ ἔπειτα. Nam Zenon Citieus sic interpretatur, aquam χάος appellatum ἀπὸ τοῦ χέεσθαι. Quamquam eandem opinionem ab Homero possumus intellegere, quod ait Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν. „eadem originatio est apud Achill. Tat. Isag. in Arat. phaen. 3, 125 e. Petav.“ Wachsm.—Cornut. c. 17. ἔστι δὲ χάος μὲν τὸ πρὸ τῆς διακοσμήσεως γενόμενον ὑγρόν, ἀπὸ τῆς χύσεως οὕτως ὠνομασμένον.

104 Schol. Apoll. Rhod. I 498. καὶ Ζήνων δὲ τὸ παρ’ Ἡσιόδῳ χάος ὕδωρ εἶναί φησιν, οὗ συνιζάνοντος ἰλὺν γίνεσθαι, ἧς πηγνυμένης ἡ γῆ στερεμνιοῦται. τρίτον δὲ Ἔρωτα γεγονέναι καθ’ Ἡσίοδον, ἵνα τὸ πῦρ παραστήσῃ· πυρωδέστερον γὰρ πάθος Ἔρως.

105 Schol. Hes. Theog. 117. Ζήνων δὲ ὁ Στωικὸς ἐκ τοῦ ὑγροῦ τὴν ὑποστάθμην γῆν γεγενῆσθαί φησιν, τρίτον δὲ Ἔρωτα γεγονέναι, ὅθεν ὁ ἐπαγόμενος ἀθετεῖται στίχος.

106 [Philo] περὶ ἀφθαρσίας κόσμου, cc. 23, 24, p. 264, 3 Bern. p. 35, 13 Cum. Θεόφραστος μέντοι φησὶ τοὺς γένεσιν καὶ φθορὰν τοῦ κόσμου κατηγοροῦντας ὑπὸ τεττάρων ἀπατηθῆναι τῶν μεγίστων, γῆς ἀνωμαλίας, θαλάττης ἀναχωρήσεως, ἑκάστου τῶν τοῦ ὅλου μερῶν διαλύσεως, χερσαίων φθορᾶς κατὰ γένη ζῴων. κατασκευάζειν δὲ τὸ μὲν πρῶτον οὕτως· „εἰ μὴ γενέσεως ἀρχὴν ἔλαβεν ἡ γῆ, μέρος ὑπανεστὼς οὐδὲν ἂν ἔτι αὐτῆς ἑωρᾶτο, χθαμαλὰ δ’ ἤδη τὰ ὄρη πάντ’ ἐγεγένητο, καὶ οἱ γεώλοφοι πάντες ἰσόπεδοι τῇ πεδιάδι· τὸ τούτων γὰρ καθ’ ἕκαστον ἐνιαυτὸν ὄμβρων ἐξ ἀϊδίου φερομένων εἰκὸς ἦν τῶν διηρμένων πρὸς ὕψος τὰ μὲν χειμάρροις ἀπερρῆχθαι, τὰ δ’ ὑπονοστήσαντα κεχαλᾶσθαι, πάντα δὲ διὰ πάντων ἤδη λελειάνθαι· νυνὶ δὲ συνεχεῖς ἀνωμαλίαι καὶ παμπόλλων ὀρῶν αἱ πρὸς αἰθέριον ὕψος ὑπερβολαὶ μηνύματ’ ἐστὶ τοῦ τὴν γῆν μὴ ἀΐδιον εἶναι· πάλαι γάρ, ὡς ἔφην, ἐν ἀπείρῳ χρόνῳ ταῖς ἐπομβρίαις ἀπὸ περάτων ἐπὶ πέρατα πᾶς’ 〈ἂν〉 λεωφόρος ἐγεγένητο. πέφυκε γὰρ ἡ ὕδατος φύσις καὶ μάλιστα ἀφ’ ὑψηλοτάτων καταράττουσα τὰ μὲν ἐξωθεῖν τῇ βίᾳ, τὰ δὲ τῷ συνεχεῖ τῶν ψεκάδων κολάπτουσα κοιλαίνειν ὑπεργάζεσθαί τε τὴν σκληρόγεων καὶ λιθωδεστάτην ὀρυκτήρων οὐκ ἔλαττον.“ „καὶ μὴν ἥ γε θάλασσα,“ φασίν, „ἤδη μεμείωται· μάρτυρες δ’ αἱ νήσων εὐδοκιμώταται Ῥόδος τε καὶ Δῆλος· αὗται γὰρ τὸ μὲν παλαιὸν ἠφανισμέναι κατὰ τῆς θαλάττης ἐδεδύκεσαν ἐπικλυζόμεναι, χρόνῳ δ’ ὕστερον ἐλαττουμένης ἠρέμα κατ’ ὀλίγον ἀνίσχουσαι διεφάνησαν, ὡς αἱ περὶ αὐτῶν ἀναγραφεῖσαι μηνύουσιν ἱστορίαι· τὴν δὲ Δῆλον καὶ Ἀνάφην ὠνόμασαν δι’ ἀμφοτέρων ὀνομάτων πιστούμενοι τὸ λεγόμενον, ἐπειδὴ γὰρ ἀναφανεῖσα δῆλος ἐγένετο, ἀδηλουμένη καὶ ἀφανὴς οὖσα τὸ πάλαι. πρὸς δὲ τούτοις μεγάλων πελαγῶν μεγάλους κόλπους καὶ βαθεῖς ἀναξηρανθέντας ἠπειρῶσθαι καὶ γεγενῆσθαι τῆς παρακειμένης χώρας μοῖραν οὐ λυπρὰν σπειρομένους καὶ φυτευομένους, οἷς σημεῖ’ ἄττα τῆς παλαιᾶς ἐναπολελεῖφθαι θαλαττώσεως ψηφῖδάς τε καὶ κόγχας καὶ ὅσα ὁμοιότροπα πρὸς αἰγιαλοὺς εἴωθεν ἀποβράττεσθαι. διὸ καὶ Πίνδαρος ἐπὶ τῆς Δήλου φησί· Χαῖρ’, ὦ θεοδμάτα, λιπαροπλοκάμου παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος Πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας· ἅν τε βροτοὶ Δᾶλον κικλήσκουσιν, μάκαρες δ’ ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον. θυγατέρα γὰρ Πόντου τὴν Δῆλον εἴρηκε τὸ λεχθὲν αἰνιττόμενος. εἰ δὴ μειοῦται ἡ θάλαττα, μειωθήσεται μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ γῆ, μακραῖς δ’ ἐνιαυτῶν περιόδοις καὶ εἰς ἅπαν ἑκάτερον στοιχεῖον ἀναλωθήσεται, δαπανηθήσεται δὲ καὶ ὁ σύμπας ἀὴρ ἐκ τοῦ κατ’ ὀλίγον ἐλαττούμενος, ἀποκριθήσεται δὲ τὰ πάντα εἰς μίαν οὐσίαν τὴν πυρός.“ πρὸς δὲ τὴν τοῦ τρίτου κεφαλαίου κατασκευὴν χρῶνται λόγῳ τοιῷδε· „φθείρεται πάντως ἐκεῖνο, οὗ πάντα τὰ μέρη φθαρτά ἐστι, τοῦ δὲ κόσμου πάντα τὰ μέρη φθαρτά ἐστι, φθαρτὸς ἄρα ὁ κόσμος ἐστίν.“ ὃ δ’ ὑπερεθέμεθα νῦν ἐπισκεπτέον. ποῖον μέρος τῆς γῆς, ἵν’ ἀπὸ ταύτης ἀρξώμεθα, μεῖζον ἢ ἔλαττον, οὐ χρόνῳ διαλύσεται; λίθων οἱ κραταιότατοι ἆρ’ οὐ μυδῶσι καὶ σήπονται; κατὰ τὴν ἕξεως ἀσθένειαν (ἡ δ’ ἔστι πνευματικὸς τόνος, δεσμὸς οὐκ ἄρρηκτος, ἀλλὰ μόνον δυσδιάλυτος) θρυπτόμενοι καὶ ῥέοντες εἰς λεπτὴν τὸ πρῶτον

106 (50) ἀναλύονται κόνιν, εἶθ’ ὕστερον δαπανηθέντες ἐξαναλοῦνται. τί δέ; εἰ μὴ πρὸς ἀνέμων ῥιπίζοιτο τὸ ὕδωρ, ἀκίνητον ἐαθὲν οὐχ ὑφ’ ἡσυχίας νεκροῦται; μεταβάλλει γοῦν καὶ δυσωδέστατον γίγνεται οἷα ψυχὴν ἀφῃρημένον ζῷον. αἵ γε μὴν ἀέρος φθοραὶ παντί τῳ δῆλαι· νοσεῖν γὰρ καὶ φθίνειν καὶ τρόπον τιν’ ἀποθνήσκειν πέφυκεν. ἐπεὶ τί ἄν τις, μὴ στοχαζόμενος ὀνομάτων εὐπρεπείας ἀλλὰ τἀληθοῦς, εἴποι λοιμὸν εἶναι πλὴν ἀέρος θάνατον τὸ οἰκεῖον πάθος ἀναχέοντος ἐπὶ φθορᾷ πάντων ὅσα ψυχῆς μεμοίραται; τί χρὴ μακρηγορεῖν περὶ πυρός; ἀτροφῆσαν γὰρ αὐτίκα σβέννυται χωλόν, ᾗ φασιν οἱ ποιηταί, γεγονὸς ἐξ ἑαυτοῦ. διὸ σκηριπτόμενον ὀρθοῦται κατὰ τὴν τῆς ἀναφθείσης ὕλης νομήν, ἐξαναλωθείσης δ’ ἀφανίζεται. τὸ παραπλήσιον μέντοι καὶ τοὺς

106a κατὰ τὴν Ἰνδικὴν δράκοντάς φασι πάσχειν. ἀνέρποντας γὰρ ἐπὶ τὰ μέγιστα τῶν ζῴων ἐλέφαντας περὶ νῶτα καὶ νηδὺν ἅπασαν εἰλεῖσθαι, φλέβα δ’ ἣν ἂν τύχῃ διελόντας ἐμπίνειν τοῦ αἵματος, ἀπλήστως ἐπισπωμένους βιαίῳ πνεύματι καὶ συντόνῳ ῥοίζῳ. μέχρι μὲν οὖν τινος ἐξαναλουμένους ἐκείνους ἀντέχειν ὑπ’ ἀμηχανίας ἀνασκιρτῶντας καὶ τῇ προνομαίᾳ τὴν πλευρὰν τύπτοντας ὡς καθιξομένους τῶν δρακόντων, εἶτ’ ἀεὶ κενουμένου τοῦ ζωτικοῦ πηδᾶν μὲν μηκέτι δύνασθαι, κραδαινομένους δ’ ἑστάναι, μικρὸν δ’ ὕστερον καὶ τῶν σκελῶν ἐξασθενησάντων κατασεισθέντας ὑπὸ λιφαιμίας ἀποψύχειν· πεσόντας δὲ τοὺς αἰτίους τοῦ θανάτου συναπολλύναι τρόπῳ τοιῷδε· μηκέτ’ ἔχοντες τροφὴν οἱ δράκοντες, ὃν περιέθεσαν δεσμὸν ἐπιχειροῦσιν ἐκλύειν ἀπαλλαγὴν ἤδη ποθοῦντες, ὑπὸ δὲ τοῦ βάρους τῶν ἐλεφάντων θλιβόμενοι πιεζοῦνται καὶ πολὺ μᾶλλον ἐπειδὰν τύχῃ στέριφον 〈ὂν〉 καὶ λιθῶδες τὸ ἔδαφος· ἰλυσπώμενοι γὰρ καὶ πάντα ποιοῦντες εἰς διάλυσιν ὑπὸ τῆς τοῦ πιέσαντος βίας πεδηθέντες, ἑαυτοὺς πολυτρόπως ἐν ἀμηχάνοις καὶ ἀπόροις γυμνάσαντες ἐξασθενοῦσι καὶ καθάπερ οἱ καταλευσθέντες ἢ τείχους αἰφνίδιον ἐπενεχθέντος προκαταληφθέντες, οὐδ’ ὅσον ἀνακύψαι δυνάμενοι πνιγῇ τελευτῶσιν. εἰ δὴ τῶν μερῶν ἕκαστον τοῦ κόσμου φθορὰν ὑπομένει, δηλονότι καὶ ὁ ἐξ αὐτῶν παγεὶς κόσμος ἄφθαρτος οὐκ ἔσται.“ τὸν δὲ τέταρτον καὶ λοιπὸν λόγον ἀκριβωτέον ὧδέ φασιν. „εἰ ὁ κόσμος ἀΐδιος ἦν, ἦν ἂν καὶ τὰ ζῷα ἀΐδια καὶ πολύ γε μᾶλλον τὸ τῶν ἀνθρώπων γένος ὅσῳ καὶ τῶν ἄλλων ἄμεινον. ἀλλὰ καὶ ὀψίγονον φανῆναι τοῖς βουλομένοις ἐρευνᾶν τὰ φύσεως. εἰκὸς γάρ, μᾶλλον δ’ ἀναγκαῖον ἀνθρώποις συνυπάρξαι τὰς τέχνας ὡς ἂν ἰσήλικας, οὐ μόνον ὅτι λογικῇ φύσει τὸ ἐμμέθοδον οἰκεῖον, ἀλλὰ καὶ ὅτι ζῆν ἄνευ τούτων οὐκ ἔστιν· ἴδωμεν οὖν τοὺς ἑκάστων χρόνους ἀλογήσαντες τῶν ἐπιτραγῳδουμένων θεοῖς μύθων *** εἰ μὴ ἀΐδιος ἄνθρωπος, οὐδ’ ἄλλο τι ζῷον, ὥστ’ οὐδ’ αἱ δεδεγμέναι ταῦτα χῶραι, γῆ καὶ ὕδωρ καὶ ἀήρ. ἐξ ὧν τὸ φθαρτὸν εἶναι τὸν κόσμον δῆλόν ἐστιν.“

107 Stobaeus Ecl. I 20, 1 e p. 171,2 W. (Arii Didymi fr. phys. 36 Diels). Ζήνωνι καὶ Κλεάνθει καὶ Χρυσίππῳ ἀρέσκει τὴν οὐσίαν μεταβάλλειν οἷον εἰς σπέρμα τὸ πῦρ, καὶ πάλιν ἐκ τούτου τοιαύτην ἀποτελεῖσθαι τὴν διακόσμησιν οἵα πρότερον ἦν.—Eusebius praep. evang. XV 18, 3. ἀρέσκει γὰρ τοῖς Στωικοῖς φιλοσόφοις τὴν ὅλην οὐσίαν εἰς πῦρ μεταβάλλειν οἷον εἰς σπέρμα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ πάλιν ἐκ τούτου αὐτὴν ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα τὸ πρότερον ἦν. καὶ τοῦτο τὸ δόγμα τῶν ἀπὸ τῆς αἱρέσεως οἱ πρῶτοι καὶ πρεσβύτατοι προσήκαντο Ζήνων τε καὶ Κλεάνθης καὶ Χρύσιππος. Arnob. ad nat. II 9. qui ignem minatur mundo et venerit cum tempus arsurum, non Panaetio, Chrysippo, Zenoni (credit)?

108 Philargyrius ad Verg. Georg. II 336. Zenon ex hoc mundo quamvis aliqua intereant, tamen ipsum perpetuo manere, quia inhaereant ei elementa, e quibus generantur materiae: ut dixit crescere quidem, sed ad interitum non pervenire, manentibus elementis a quibus revalescat.

109 Tatianus adv. Graec. c. 5. τὸν Ζήνωνα διὰ τῆς ἐκπυρώσεως ἀποφαινόμενον ἀνίστασθαι πάλιν τοὺς αὐτοὺς ἐπὶ τοῖς αὐτοῖς, λέγω δὲ Ἄνυτον καὶ Μέλητον ἐπὶ τῷ κατηγορεῖν, Βούσιριν δὲ ἐπὶ τῷ ξενοκτονεῖν καὶ Ἡρακλέα πάλιν ἐπὶ τῷ ἀθλεῖν, παραιτητέον.

110 Sextus adv. math. IX 107. δυνάμει δὲ τὸν αὐτὸν τῷ Ζήνωνι λόγον ἐξέθετο (scil. Plato). καὶ γὰρ οὗτος τὸ πᾶν κάλλιστον εἶναί φησιν κατὰ φύσιν ἀπειργασμένον ἔργον καὶ κατὰ τὸν εἰκότα λόγον ζῷον ἔμψυχον, νοερόν τε καὶ λογικόν.

111 Sextus adv. math. IX 104. καὶ πάλιν ὁ Ζήνων φησὶν „[εἰ] τὸ λογικὸν τοῦ μὴ λογικοῦ κρεῖττόν ἐστιν· οὐδὲν δέ γε κόσμου κρεῖττόν ἐστιν· λογικὸν ἄρα ὁ κόσμος.“ καὶ ὡσαύτως ἐπὶ τοῦ νοεροῦ καὶ ἐμψυχίας μετέχοντος. „τὸ γὰρ νοερὸν τοῦ μὴ νοεροῦ καὶ 〈τὸ〉 ἔμψυχον τοῦ μὴ ἐμψύχου κρεῖττόν ἐστιν· οὐδὲν δέ γε κόσμου κρεῖττον· νοερὸς ἄρα καὶ ἔμψυχός ἐστιν ὁ κόσμος.“ Cicero de nat. deor. II 21. Quod ratione utitur, id melius est quam id, quod ratione non utitur. Nihil autem mundo melius: ratione igitur mundus utitur.

112 Cicero de nat. deor. II 22. Idemque similitudine, ut saepe solet, rationem conclusit hoc modo: „si ex oliva modulate canentes tibiae nascerentur, num dubitares, quin inesset in oliva tibicinii quaedam scientia? quid? si platani fidiculas ferrent numerose sonantes, idem scilicet censeres in platanis inesse musicam. Cur igitur mundus non animans sapiensque judicetur, cum ex se procreet animantes atque sapientes?“

113 Sextus adv. math. IX 101. Ζήνων δὲ ὁ Κιτιεύς, ἀπὸ Ξενοφῶντος τὴν ἀφορμὴν λαβών, οὑτωσὶ συνερωτᾷ· τὸ προϊέμενον σπέρμα λογικοῦ καὶ αὐτὸ λογικόν ἐστιν· ὁ δὲ κόσμος προΐεται σπέρμα λογικοῦ· λογικὸν ἄρ’ ἐστὶν ὁ κόσμος. ᾧ συνεισάγεται καὶ ἡ τούτου ὕπαρξις. Cicero de nat. deor. II 22. Nihil quod animi quodque rationis est expers, id generare ex se potest animantem compotemque rationis. Mundus autem generat animantes compotesque rationis. Animans est igitur mundus composque rationis.

114 Cicero de nat. deor. II 22. Idemque (Zeno) hoc modo: „Nullius sensu carentis pars aliqua potest esse sentiens. Mundi autem partes sentientes sunt: non igitur caret sensu mundus.“

115 Achilles Tat. Isag. in Arat. 5 p. 129e. Ζήνων ὁ Κιτιεὺς οὕτως αὐτὸν ὡρίσατο· „οὐρανός ἐστιν αἰθέρος τὸ ἔσχατον· ἐξ οὗ καὶ ἐν ᾧ ἐστι πάντα ἐμφανῶς· περιέχει γὰρ πάντα πλὴν αὑτοῦ· οὐδὲν γὰρ ἑαυτὸ περιέχει, ἀλλ’ ἑτέρου ἐστὶ περιεκτικόν.“

116 Aëtius II 11, 4 (DDG p. 340b 6). Ζήνων πύρινον εἶναι τὸν οὐρανόν.

117 Diogenes Laërt. VII 153. 154. ἀστραπὴν δὲ ἔξαψιν νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος, ὡς Ζήνων ἐν τῷ περὶ τοῦ ὅλο υ· βροντὴν δὲ τὸν τούτων ψόφον ἐκ παρατρίψεως ἢ ῥήξεως· κεραυνὸν δὲ ἔξαψιν σφοδρὰν μετὰ πολλῆς βίας πίπτουσαν ἐπὶ γῆς νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων.

118 Schol. Hes. Theog. 139, Gaisf. Gr. Poet. Min. II 484. Κύκλωπας. Ζήνων δὲ πάλιν φυσικωτέρως τὰς ἐγκυκλίους φορὰς εἰρῆσθαί φησι· διὸ καὶ τὰ ὀνόματα τούτων ἐξέθετο Βρόντην τε καὶ

Στερόπην· Ἄργην δὲ ἐπειδή φασι τὸν ἀργῆτα κεραυνόν· παῖδας δέ φησιν αὐτοὺς τοῦ Οὐρανοῦ ἐπειδὴ πάντα ταῦτα τὰ πάθη περὶ τὸν οὐρανόν εἰσι.

119 Diogenes Laërt. VII 145 sq. ἐκλείπειν δὲ τὸν μὲν ἥλιον ἐπιπροσθούσης αὐτῷ σελήνης κατὰ τὸ πρὸς ἡμᾶς μέρος, ὡς Ζήνων ἀναγράφει ἐν τῷ περὶ ὅλο υ. φαίνεται γὰρ ὑπερχομένη ταῖς συνόδοις καὶ ἀποκρύπτουσα αὐτὸν καὶ πάλιν παραλλάττουσα. γνωρίζεται δὲ τοῦτο διὰ λεκάνης ὕδωρ ἐχούσης. τὴν δὲ σελήνην ἐμπίπτουσαν εἰς τὸ τῆς γῆς σκίασμα. ὅθεν καὶ ταῖς πανσελήνοις ἐκλείπειν μόναις, καίπερ κατὰ διάμετρον ἱσταμένην κατὰ μῆνα τῷ ἡλίῳ, ὅτι κατὰ λοξοῦ ὡς πρὸς τὸν ἥλιον κινουμένη παραλλάττει τῷ πλάτει ἢ βορειοτέρα ἢ νοτιωτέρα γινομένη. ὅταν μέντοι τὸ πλάτος αὐτῆς κατὰ τὸν ἡλιακὸν καὶ τὸν διὰ μέσων γένηται, εἶτα διαμετρήσῃ τὸν ἥλιον, τότε ἐκλείπει.

120 Stobaeus Ecl. I 25, 5 p. 213, 15 W. (Arii Didymi fr. phys. 33 Diels). Ζήνων τὸν ἥλιόν φησι καὶ τὴν σελήνην καὶ τῶν ἄλλων ἄστρων ἕκαστον εἶναι νοερὸν καὶ φρόνιμον, πύρινον 〈δὲ〉 πυρὸς τεχνικοῦ. δύο γὰρ γένη πυρός, τὸ μὲν ἄτεχνον καὶ μεταβάλλον εἰς ἑαυτὸ τὴν τροφήν, τὸ δὲ τεχνικόν, αὐξητικόν τε καὶ τηρητικόν, οἷον ἐν τοῖς φυτοῖς ἐστι καὶ ζῴοις, ὃ δὴ φύσις ἐστὶ καὶ ψυχή· τοιούτου δὴ πυρὸς εἶναι τὴν τῶν ἄστρων οὐσίαν· τὸν δ’ ἥλιον καὶ τὴν σελήνην δύο φορὰς φέρεσθαι, τὴν μὲν ὑπὸ τοῦ κόσμου ἀπ’ ἀνατολῆς ἐπ’ ἀνατολήν, τὴν δ’ ἐναντίαν τῷ κόσμῳ ζῴδιον ἐκ ζῳδίου μεταβαίνοντας. τὰς δ’ ἐκλείψεις τούτων γίγνεσθαι διαφόρως, ἡλίου μὲν περὶ τὰς συνόδους, σελήνης δὲ περὶ τὰς πανσελήνους· γίγνεσθαι δ’ ἐπ’ ἀμφοτέρων τὰς ἐκλείψεις καὶ μείζους καὶ ἐλάττους. ibid. I 26, 1 p. 219, 12 W. (Arii fr. 34 D). Ζήνων τὴν σελήνην ἔφησεν ἄστρον νοερὸν καὶ φρόνιμον, πύρινον δὲ πυρὸς τεχνικοῦ.

121 Etymol. Gud. s. v. ἥλιος καὶ ὑπὸ τῶν ποιητῶν ἠέλιος, παρὰ τὴν ἅλα (ms. ἅλαν) ἅλιος καὶ ἥλιος. ἔστι γὰρ κατὰ Ζήνωνα τὸν Στωϊκὸν ἄναμμα νοερὸν (ms. ἄναμμαν τὸν) ἐκ τοῦ θαλάσσης 〈ἀναθυμιάματοσ〉.

122 Seneca Nat. Quaest. VII 19, 1. Zenon noster in illa sententia est: congruere iudicat stellas, et radios inter se committere: hac societate luminis existere imaginem stellae longioris.

123 Varro rerum rustic. lib. II 1, 3. sive enim aliquod fuit principium generandi animalium, ut putavit Thales Milesius et Zeno Citieus, sive contra principium horum exstitit nullum, ut credidit Pythagoras Samius et Aristoteles Stagirites.

124 Censorinus de die nat. IV 10. Zenon Citieus, Stoicae sectae conditor, principium humano generi ex novo mundo constitutum putavit, primosque homines ex solo, adminiculo divini ignis id est dei providentia, genitos.

125 Galenus adv. Julianum 5 Vol. XVIII A p. 269. τὸ μέντοι γε τὴν τοῦ σώματος ἡμῶν φύσιν ἤτοι γε ἐξ ἀέρος καὶ πυρὸς καὶ ὕδατος καὶ γῆς ἢ ἐξ ὑγροῦ καὶ ξηροῦ καὶ θερμοῦ καὶ ψυχροῦ συμμέτρως ἀλλήλοις κεκραμένων γεγονέναι διαπεφώνηται μέν, ἀλλ’ οὐκ εἰς τοσοῦτον, ὅσον αἱ Θεσσαλοῦ κοινότητες, εἴ γε καὶ Πλάτων καὶ Ζήνων, Ἀριστοτέλης τε καὶ Θεόφραστος, Εὔδημός τε καὶ Κλεάνθης καὶ Χρύσιππος—ὁμολογοῦσιν ἀμφ’ αὐτάς.

126 Varro de lingua lat. V 59. sive, ut Zenon Citieus, animalium semen ignis is, qui anima ac mens.

127 Rufus Ephes. de part. hom. p. 44 ed. Clinch. θερμασίαν δὲ καὶ πνεῦμα Ζήνων τὸ αὐτὸ εἶναί φησιν.

128 Eusebius praep. evang. XV 20, 1 (Ar. Did. fr. phys. 39 Diels p. 470). τὸ δὲ σπέρμα φησὶν ὁ Ζήνων εἶναι, ὃ μεθίησιν ἄνθρωπος, πνεῦμα μεθ’ ὑγροῦ, ψυχῆς μέρος καὶ ἀπόσπασμα καὶ τοῦ σπέρματος τοῦ τῶν προγόνων κέρασμα καὶ μῖγμα τῶν τῆς ψυχῆς μερῶν συνεληλυθός· ἔχον γὰρ τοὺς λόγους τῷ ὅλῳ τοὺς αὐτοὺς τοῦτο, ὅταν ἀφεθῇ εἰς τὴν μήτραν, συλληφθὲν ὑπ’ ἄλλου πνεύματος, μέρους ψυχῆς τῆς τοῦ θήλεος, καὶ συμφυὲς γενόμενον κρυφθέν τε φύει,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κινούμενον καὶ ἀναρριπιζόμενον ὑπ’ ἐκείνου, προσλαμβάνον ἀεὶ [εἰς] τὸ ὑγρὸν καὶ αὐξόμενον ἐξ αὐτοῦ.—Theodoret. gr. aff. cur. V 25. Ζήνων δὲ ὁ Κιτιεὺς ὁ τῆσδε τῆς αἱρέσεως ἡγησάμενος τοιάδε περὶ ψυχῆς δοξάζειν τοὺς οἰκείους ἐδίδαξε φοιτητάς· τὸν γάρ τοι ἀνθρώπινον θορόν, ὑγρὸν ὄντα καὶ μετέχοντα πνεύματος, τῆς ψυχῆς ἔφησεν εἶναι μέρος τε καὶ ἀπόσπασμα καὶ τοῦ τῶν προγόνων σπέρματος κέρασμά τε καὶ μῖγμα ἐξ ἁπάντων τῶν τῆς ψυχῆς μορίων ξυναθροισθέν.—Plutarchus de cohib. ira 15 p. 462f. καίτοι καθάπερ ὁ Ζήνων ἔλεγε τὸ σπέρμα σύμμιγμα καὶ κέρασμα τῶν τῆς ψυχῆς δυνάμεων ὑπάρχειν ἀπεσπασμένον, οὕτω κ.τ.λ.—Aëtius plac. V 4, 1 (DDG p. 417). Ζήνων (τὸ σπέρμα σῶμα· ψυχῆς γὰρ εἶναι ἀπόσπασμα.—Eadem Galen. hist. phil. 108 (DDG p. 640) Galen. ὅροι ἰατρ. 94 (XIX p. 370 K.) σπέρμα ἐστὶν ἀνθρώπου, ὃ μεθίησιν ἄνθρωπος μεθ’ ὑγροῦ, ψυχῆς μέρους ἅρπαγμα καὶ σύμμιγμα τοῦ τῶν προγόνων γένους, οἷόν τε αὐτὸ ἦν καὶ αὐτὸ συμμιχθὲν ἀπεκρίθη.—Diogenes Laërt. VII 158. ἀνθρώπου δὲ σπέρμα, ὃ μεθίησιν ὁ ἄνθρωπος μεθ’ ὑγροῦ, συγκίρνασθαι (λέγουσιν) τοῖς τῆς ψυχῆς μέρεσι κατὰ μιγμὸν τοῦ τῶν προγόνων λόγου.

129 Aëtius plac. V 5, 2 (DDG p. 418). Ζήνων (τὰς θηλείας) ὕλην μὲν ὑγρὰν προΐεσθαι, οἱονεὶ ἀπὸ τῆς συγγυμνασίας ἱδρῶτας, οὐ μὴν σπέρμα πεπτικόν.—Galen. hist. phil. 109 (DDG p. 640) Diogenes Laërt. VII 159. τὸ δὲ τῆς θηλείας (σπέρμα) ἄγονον ἀποφαίνονται.

130 Cicero de divin. II 119. contrahi autem animum Zeno et quasi labi putat atque concidere et 〈id〉 ipsum esse dormire.

131 Galenus methodi med. II 5 Vol. X p. 111 K. ὅτι τε γὰρ τῆς νοσώδους δυσκρασίας εἴδη πολλὰ καὶ ὅτι καθ’ ἕκαστον ἡ θεραπεία διάφορος οὐχ Ἱπποκράτην μόνον ἢ ἄλλους παμπόλλους ἰατρούς, ἀλλὰ καὶ Πλάτωνα καὶ Ἀριστοτέλην καὶ Θεόφραστον καὶ Ζήνωνα καὶ Χρύσιππον ἅπαντάς τε τοὺς ἐλλογίμους φιλοσόφους παρεχόμενοι μάρτυρας· ὅτι τε χωρὶς τοῦ τὴν φύσιν εὑρεθῆναι τοῦ σώματος ἀκριβῶς οὐχ οἷόντ’ ἐστὶν οὔτε περὶ νοσημάτων διαφορᾶς ἐξευρεῖν οὐδὲν οὔτε ἰαμάτων εὐπορῆσαι προσηκόντως, ἅπαντας πάλιν τοὺς νῦν εἰρημένους μοι φιλοσόφους τε καὶ ἰατροὺς οὐ προστάττοντας—— ἀλλ’ ἀποδεικνύντας παρέξονται.

132 Galenus adv. Iulianum 4 Vol. XVIII A p. 257. αὗται μὲν οὖν αἱ ῥήσεις τοῦ λαμπροτάτου σοφιστοῦ, Ζήνωνι καὶ Ἀριστοτέλει καὶ Πλάτωνι τοὺς μεθοδικοὺς ἰατροὺς ἕπεσθαι φάσκοντος. ἡμεῖς δ’ αὖθις ἀναμνήσομεν αὐτόν, ὡς ἕκαστος τούτων τῶν φιλοσόφων, ἅμα πολλοῖς τοῖς μετ’ αὐτόν, εὐκρασίαν μὲν ἡγεῖται τῆν ὑγείαν εἶναι θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ· νοσήματα δὲ γίγνεσθαι τὰ γοῦν κατὰ δίαιταν ὑπερβάλλοντος ἑκάστου τῶν εἰρημένων ἢ ἐλλείποντος· εἶναι δὲ καὶ χυμοὺς ἐν τῷ σώματι τοὺς μὲν ὑγροὺς καὶ ξηροὺς κατὰ δύναμιν, ἐνίους δὲ θερμοὺς ἢ ψυχρούς, ἀναλογίζοντας 〈τοῖσ〉 νοσήμασιν. οὕτω Πλάτων ἅμα τοῖς ὑπ’ αὐτῷ πᾶσιν, οὕτως Ἀριστοτέλης ἅμα τοῖς ἐκ τοῦ Περιπάτου, οὕτω Ζήνων καὶ Χρύσιππος ἅμα τοῖς ἄλλοις Στωϊκοῖς ἐγίνωσκον.

133 Censorinus de die nat. XVII 2. quare qui annos triginta saeculum putarunt multum videntur errasse. hoc enim tempus genean vocari Heraclitus auctor est, quia orbis aetatis in eo sit spatio. orbem autem vocat aetatis dum natura ab sementi humana ad sementim revertitur. hoc quidem geneas tempus alii aliter definierunt. Herodicus annos quinque et viginti scribit, Zenon triginta.

134 Cicero Acad. post. I 39. (Zeno) statuebat ignem esse ipsam naturam quae quoique gigneret [et] mentem atque sensus.— de finibus IV 12. cum autem quaereretur res admodum difficilis, num quinta quaedam natura videretur esse, ex qua ratio et intellegentia oriretur, in quo etiam de animis cuius generis essent quaereretur, Zeno id dixit esse ignem.— Tusc. disp. I 19. Zenoni Stoico animus ignis videtur.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

135 Diogenes Laërt. 157. Ζήνων δὲ ὁ Κιτιεύς ... πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν. τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους καὶ ὑπὸ τούτου κινεῖσθαι.

136 Galenus Hist. Phil. 24 Diels, p. 613, 12. τὴν δὲ οὐσίαν αὐτῆς (scil. τῆς ψυχῆς) οἱ μὲν ἀσώματον ἔφασαν, ὡς Πλάτων, οἱ δὲ σώματα κινεῖν, ὡς Ζήνων καὶ οἱ ἐξ αὐτοῦ. πνεῦμα γὰρ εἶναι ταύτην ὑπενόησαν καὶ οὗτοι.

137 Tertullianus de anima c. 5. denique Zeno „consitum spiritum“ definiens animam hoc modo instruit, „quo“ inquit „digresso animal emoritur, corpus est: consito autem spiritu digresso animal emoritur: ergo consitus spiritus corpus est: consitus autem spiritus anima est: ergo corpus est anima.“— Macrob. in Somn. Sc. I 14, 19. Zenon (dixit animam) concretum corpori spiritum.

138 Chalcidius in Tim. c. 220. Spiritum quippe animam esse Zenon quaerit hactenus: quo recedente a corpore moritur animal, hoc certe anima est. naturali porro spiritu recedente moritur animal: naturalis igitur spiritus anima est.

139 Longinus ap. Euseb. praep. evang. XV 21, 3. Ζήνωνι μὲν γὰρ καὶ Κλεάνθει νεμεσήσειέ τις ἂν δικαίως οὕτω σφόδρα ὑβριστικῶς περὶ αὐτῆς (scil. ψυχῆς) διαλεχθεῖσι καὶ ταὐτὸν ἄμφω τοῦ στερεοῦ σώματος εἶναι τὴν ψυχὴν ἀναθυμίασιν φήσασι.—Theodoret. gr. aff. cur. V 27 (p. 129 Rae). ἄμφω γὰρ (Ζήνων καὶ Κλεάνθης) τοῦ στερεοῦ σώματος εἶναι τὴν ψυχὴν ἀναθυμίασιν.

140 Galenus de plac. Hippocr. et Plat. II 8 (V 283 K., p. 248 ed. Iu. Mueller). εἰ δέ γε ἕποιτο (Διογένης ὁ Βαβυλώνιος) Κλεάνθει καὶ Χρυσίππῳ καὶ Ζήνωνι τρέφεσθαι μὲν ἐξ αἵματος φήσαντι τὴν ψυχήν, οὐσίαν δ’ αὐτῆς ὑπάρχειν τὸ πνεῦμα etc.

141 Eusebius praep. evang. XV 20, 2 (Ar. Did. fr. phys. 39, Diels p. 470). περὶ δὲ ψυχῆς Κλεάνθης μὲν τὰ Ζήνωνος δόγματα παρατιθέμενος πρὸς σύγκρισιν τὴν πρὸς τοὺς ἄλλους φυσικούς φησιν, ὅτι Ζήνων τὴν ψυχὴν λέγει αἰσθητικὴν ἀναθυμίασιν, καθάπερ Ἡράκλειτος. βουλόμενος γὰρ ἐμφανίσαι, ὅτι αἱ ψυχαὶ ἀναθυμιώμεναι νοεραὶ ἀεὶ γίνονται, εἴκασεν αὐτὰς τοῖς ποταμοῖς λέγων οὕτως „ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ.“ καὶ ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται. ἀναθυμίασιν μὲν οὖν ὁμοίως τῷ Ἡρακλείτῳ τὴν ψυχὴν ἀποφαίνει Ζήνων, αἰσθητικὴν δὲ αὐτὴν εἶναι διὰ τοῦτο λέγει, ὅτι τυποῦσθαί τε δύναται [τὸ μέγεθος] τὸ μέρος τὸ ἡγούμενον αὐτῆς ἀπὸ τῶν ὄντων καὶ ὑπαρχόντων διὰ τῶν αἰσθητηρίων καὶ παραδέχεσθαι τὰς τυπώσεις· ταῦτα γὰρ ἴδια ψυχῆς ἐστιν.

142 Jamblichus de anima ap. Stob. Ecl. I 49, 33 p. 367, 18 W. ἀλλὰ μὴν οἵ γε ἀπὸ Χρυσίππου καὶ Ζήνωνος φιλόσοφοι καὶ πάντες ὅσοι σῶμα τὴν ψυχὴν νοοῦσι τὰς μὲν δυνάμεις ὡς ἐν τῷ ὑποκειμένῳ ποιότητας συμβιβάζουσι, τὴν δὲ ψυχὴν ὡς οὐσίαν προϋποκειμένην ταῖς δυνάμεσι τιθέασιν, ἐκ δ’ ἀμφοτέρων τούτων σύνθετον φύσιν ἐξ ἀνομοίων συνάγουσιν.

143 Nemesius de nat. hom. p. 96. Ζήνων δὲ ὁ Στωικὸς ὀκταμερῆ φησιν εἶναι τὴν ψυχήν, διαιρῶν αὐτὴν εἴς τε τὸ ἡγεμονικὸν καὶ εἰς τὰς πέντε αἰσθήσεις καὶ εἰς τὸ φωνητικὸν καὶ τὸ σπερματικόν.— Jamblichus de anima ap. Stob. Ecl. I 49, 34 p. 369, 6 W. οἱ ἀπὸ Ζήνωνος ὀκταμερῆ τὴν ψυχὴν διαδοξάζουσι περὶ τὰς δυνάμεις εἶναι πλείονας, ὥσπερ ἐν τῷ ἡγεμονικῷ, ἐνυπαρχουσῶν φαντασίας, συγκαταθέσεως, ὁρμῆς, λόγου.

144 Tertullianus de anima c. 14. dividitur autem in partes nunc in duas a Platone, nunc in tres a Zenone.

145 Themistius de anima f. 68 II p. 30, 17 Spengel. οὐδὲ γὰρ οἱ πνεῦμα τὴν ψυχὴν λέγοντες καὶ τὴν κίνησιν αὐτῇ τὴν κατὰ τόπον διδόντες ἐξελθοῦσαν εἰσιέναι πάλιν συγχωρήσειαν ἄν. κακῶς οὖν, ὦ βέλτιστε——εἰ γὰρ ὡς σῶμα ἔξεισιν ἐκ τοῦ σώματος, διὰ τί καὶ οὐκ εἴσεισι πάλιν;——ἀλλ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅμως Ζήνωνι μὲν ὑπολείπεταί τις ἀπολογία, κεκρᾶσθαι ὅλην δι’ ὅλου τοῦ σώματος φάσκοντι τὴν ψυχὴν καὶ τὴν ἔξοδον αὐτῆς ἄνευ φθορᾶς τοῦ συγκρίματος μὴ ποιοῦντι.

146 Epiphanius adv. haeres. III 2, 9 (DDG p. 592, 21). Ζήνων ὁ Κιτιεὺς ὁ Στωικὸς ἔφη μὴ δεῖν θεοῖς οἰκοδομεῖν ἱερά, ἀλλ’ ἔχειν τὸ θεῖον ἐν μόνῳ τῷ νῷ, μᾶλλον δὲ θεὸν ἡγεῖσθαι τὸν νοῦν. ἔστι γὰρ ἀθάνατος.—id. 26. ἔλεγε δὲ καὶ μετὰ χωρισμὸν τοῦ σώματος *** καὶ ἐκάλει τὴν ψυχὴν πολυχρόνιον πνεῦμα, οὐ μὴν δὲ ἄφθαρτον δι’ ὅλου ἔλεγεν αὐτὴν εἶναι. ἐκδαπανᾶται γὰρ ὑπὸ τοῦ πολλοῦ χρόνου εἰς τὸ ἀφανές, ὥς φησι. Augustinus contra Acad. III 17, 38. quamobrem cum Zeno sua quadam de mundo et maxime de anima, propter quam vera philosophia vigilat, sententia delectaretur, dicens eam esse mortale m , nec quidquam esse praeter hunc sensibilem mundum, nihilque in eo agi nisi corpore; nam et deum ipsum ignem putabat etc.

147 Lactantius inst. div. VII 7, 20. Esse inferos Zenon Stoicus docuit et sedes piorum ab impiis esse discretas: et illos quidem quietas et delectabiles incolere regiones, hos vero luere poenas in tenebrosis locis atque in caeni voraginibus horrendis.

148 Galenus de Hipp. et Plat. plac. II 5 (V p. 241 K, p. 201 ed. Iu. Mueller). ὁ θαυμαζόμενος ὑπὸ τῶν Στωικῶν λόγος ὁ Ζήνωνος ... ἔχει γὰρ ὧδε. „φωνὴ διὰ φάρυγγος χωρεῖ. εἰ δὲ ἦν ἀπὸ τοῦ ἐγκεφάλου χωροῦσα, οὐκ ἂν διὰ φάρυγγος ἐχώρει. ὅθεν δὲ λόγος, καὶ φωνὴ ἐκεῖθεν χωρεῖ. λόγος δὲ ἀπὸ διανοίας χωρεῖ, ὥστ’ οὐκ ἐν τῷ ἐγκεφάλῳ ἐστὶν ἡ διάνοια.“

149 Schol. ad Plat. Alcib. I p. 121 E. δὶς ἑπτὰ ἐτῶν] τότε γὰρ ὁ τέλειος ἐν ἡμῖν ἀποφαίνεται λόγος, ὡς Ἀριστοτέλης καὶ Ζήνων καὶ Ἀλκμαίων ὁ Πυθαγόρειός φασιν.—Jambl. de anima ap. Stob. Ecl. I 48, 8 p. 317, 21 W. πάλιν τοίνυν περὶ τοῦ νοῦ καὶ πασῶν τῶν κρειττόνων δυνάμεων τῆς ψυχῆς οἱ μὲν Στωικοὶ λέγουσι μὴ εὐθὺς ἐμφύεσθαι τὸν λόγον, ὕστερον δὲ συναθροίζεσθαι ἀπὸ τῶν αἰσθήσεων καὶ φαντασιῶν περὶ δεκατέσσαρα ἔτη.

150 Aëtius IV 21, 4 p. 411 Diels. τὸ δὲ φωνᾶεν ὑπὸ τοῦ Ζήνωνος εἰρημένον, ὃ καὶ φωνὴν καλοῦσιν, ἔστι πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι φάρυγγος καὶ γλώττης καὶ τῶν οἰκείων ὀργάνων.

151 Galenus de Hipp. et Plat. plac. II 5 (V p. 247 K., p. 208 ed. Iv. Mueller). καὶ τοῦτο βούλεταί γε Ζήνων καὶ Χρύσιππος ἅμα τῷ σφετέρῳ χορῷ παντί, διαδίδοσθαι τὴν ἐκ τοῦ προσπεσόντος ἔξωθεν ἐγγενομένην τῷ μορίῳ κίνησιν εἰς τὴν ἀρχὴν τῆς ψυχῆς, ἵν’ αἴσθηται τὸ ζῷον.

152 Sextus adv. math. IX 133. Ζήνων δὲ καὶ τοιοῦτον ἠρώτα λόγον· „τοὺς θεοὺς εὐλόγως ἄν τις τιμῴη. τοὺς δὲ μὴ ὄντας οὐκ ἄν τις εὐλόγως τιμῴη· εἰσὶν ἄρα θεοί.“

153 Hippolytus Philosoph. 21, 1 (DDG p. 571). Χρύσιππος καὶ Ζήνων, οἳ ὑπέθεντο καὶ αὐτοὶ ἀρχὴν μὲν θεὸν τῶν πάντων, σῶμα ὄντα τὸ καθαρώτατον, διὰ πάντων δὲ διήκειν τὴν πρόνοιαν αὐτοῦ.— Galen. Hist. Philos. 16 (DDG p. 608). Πλάτων μὲν οὖν καὶ Ζήνων ὁ Στωικὸς περὶ τῆς οὐσίας τοῦ θεοῦ διεληλυθότες οὐχ ὁμοίως περὶ ταύτης διενοήθησαν, ἀλλ’ ὁ μὲν Πλάτων θεὸν ἀσώματον, Ζήνων δὲ σῶμα, περὶ 〈τῆσ〉 μορφῆς μηδὲν εἰρηκότες.

154 Cicero de nat. deor. I 36. hic idem ( scil. Zeno ) alio loco aethera deum dicit.— Tertullian. adv. Marcion. I 13. deos pronuntiaverunt ... ut Zeno aerem et aetherem.— Minuc. Fel. 19, 10. aethera interdiu omnium esse principium.— Cicero Acad. pr. II 126. Zenoni et reliquis fere Stoicis aether videtur summus deus, mente praeditus, qua omnia regantur.

155 Tertullianus ad nat. II 4. ecce enim Zeno quoque materiam mundialem a deo separat et eum per illam tamquam mel per favos transisse dicit.— idem adv. Hermog. 44. Stoici enim volunt deum sic per materiam decucurrisse quomodo mel per favos.

156 Tertullianus de praes. cup. 7. et ubi materia cum deo exaequatur, Zenonis disciplina est.

157 Aëtius I 7, 23 (DDG p. 303, 11). Ζήνων ὁ Στωικὸς νοῦν κόσμου πύρινον (scil. θεὸν ἀπεφήνατο). Augustinus adv. Acad. III 17, 38. nam et deum ipsum ignem putavit (Zeno) .

158 Themistius de an. II p. 64, 25 ed. Speng. τάχα δὲ καὶ τοῖς ἀπὸ Ζήνωνος σύμφωνος ἡ δόξα, διὰ πάσης οὐσίας πεφοιτηκέναι τὸν θεὸν τιθεμένοις καὶ ποῦ μὲν εἶναι νοῦν, ποῦ δὲ ψυχήν, ποῦ δὲ φύσιν, ποῦ δὲ ἕξιν.

159 Tatianus ad Graec. c. 3 p. 143 C. καὶ ὁ θεὸς ἀποδειχθήσεται κακῶν κατ᾽ αὐτὸν (scil. Ζήνωνα) ποιητής, ἐν ἀμάραις τε καὶ σκώληξι καὶ ἀρρητουργοῖς καταγινόμενος.

160 Lactantius de vera sap. c. 9. Zeno rerum naturae dispositorem atque artificem universitatis λόγον praedicat, quem et fatum et necessitatem rerum et deum et animum Iovis nuncupat.— id. Inst. div. IV 9.—Tertull. Apol. 21. Apud vestros quoque sapientes λόγον, id est sermonem atque rationem, constat artificem videri universitatis. Hunc enim Zeno determinat factitatorem, qui cuncta in dispositione formaverit, eundem et fatum vocari et deum et animum Iovis et necessitatem omnium rerum.— Minuc. Fel. 19, 10. rationem deum vocat Zeno.

161 Cicero de nat. deor. I 36. rationem quandam per omnem naturam rerum pertinentem vi divina esse affectam putat.

162 Cicero de nat. deor. I 36. Zeno naturalem legem divinam esse censet eamque vim obtinere recta imperantem prohibentemque contraria.— Lactant. inst. div. I 5. Item Zeno (deum nuncupat) divinam naturalemque legem.— Minuc. Fel. Octav. 19, 10. Zeno naturalem legem atque divinam ... omnium esse principium. Schol. Lucan. II 9. hoc secundum Stoicos dicit, qui adfirmant mundum prudentia ac lege firmatum, ipsumque deum esse sibi legem.

163 Diogenes Laërt. VII 148. οὐσίαν δὲ θεοῦ Ζήνων μέν φησι τὸν ὅλον κόσμον καὶ τὸν οὐρανόν.

164 Lactantius de ira Dei c. 11. Antisthenes ... unum esse naturalem Deum dixit, quamvis gentes et urbes suos habeant populares. Eadem fere Zeno cum suis Stoicis. Philodemus περὶ εὐσεβ. p. 84 Gomp. πάντες οὖν οἱ ἀπὸ Ζήνωνος, εἰ καὶ ἀπέλειπον τὸ δαιμόνιον ... ἕνα θεὸν λέγουσιν εἶναι.

165 Cicero de nat. deor. I 36. idem (Zeno) astris hoc idem (i.e. vim divinam) tribuit, tum annis, mensibus, annorumque mutationibus.

166 Cicero de nat. deor. II 63. Alia quoque ex ratione et quidem physica magna fluxit multitudo deorum, qui induti specie humana fabulas poetis suppeditaverunt, hominum autem vitam superstitione omni referserunt. Atque hic locus a Zenone tractatus, post a Cleanthe et Chrysippo pluribus verbis explicatus est.

167 Cicero de nat. deor. I 36. Cum vero Hesiodi Theogoniam interpretatur, tollit omnino usitatas perceptasque cognitiones deorum; neque enim Iovem neque Iunonem neque Vestam neque quemquam, qui ita appelletur, in deorum habet numero, sed rebus inanimis atque mutis per quandam significationem haec docet tributa nomina.

168 Philodemus περὶ εὐσεβείας cp. 8 (DDG 542b).——τὴν Ἀφρο)δείτην, (δ)ύναμιν οὖσαν συνα(κ)τικὴν οἰκε(ί)ως τῶν μερῶ(ν) πρὸ(ς ἄ)λληλα καὶ ἐκ .... ων· τὴν δ᾽ ἀνα .... ν η .. ου καὶ κυ ... ... η περίοδον .....

169 Minucius Felix Octav. 19, 10. Idem (Zeno) interpretando Iunonem aera, Iovem caelum, Neptunum mare, ignem esse Vulcanum, et ceteros similiter vulgi deos elementa esse monstrando, publicum arguit graviter et revincit errorem.

170 Philodemus περὶ εὐσεβ. col. 8. τ(οὺ)ς δὲ ὀρθοὺς (λόγ)ους καὶ σπουδαίας διαθέσεις Διοσκούρους.

171 Cicero de nat. deor. II 57. Zeno igitur naturam ita definit, ut eam dicat ignem esse artificiosum ad gignendum progredientem via. Censet enim artis maxime proprium esse creare et gignere,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

quodque in operibus nostrarum artium manus efficiat, id multo artificiosius naturam efficere, id est, ut dixi, ignem artificiosum, magistrum artium reliquarum.— Acad. post. I 39. Zeno statuebat ignem esse ipsam naturam. — de nat. deor. III 27. naturae artificiose ambulantis, ut ait Zeno.— Tertull. ad. nat. II 2. cuius (ignis) instar vult esse naturam Zeno. Diogenes Laërt. VII 156. τὴν μὲν φύσιν εἶναι πῦρ τεχνικὸν ὁδῷ βαδίζον εἰς γένεσιν.

172 Cicero de nat. deor. II 58. Atque hac quidem ratione omnis natura artificiosa est, quod habet quasi viam quandam et sectam, quam sequatur. Ipsius vero mundi, qui omnia complexu suo coercet et continet, natura non artificiosa solum, sed plane artifex ab eodem Zenone dicitur, consultrix et provida utilitatum opportunitatumque omnium. Atque ut ceterae naturae suis seminibus quaeque gignuntur, augescunt, continentur, sic natura mundi omnis motus habet voluntarios conatusque et adpetitiones, quas ὁρμάς Graeci vocant, et his consentaneas actiones sic adhibet, ut nosmet ipsi, qui animis movemur et sensibus. Talis igitur mens mundi cum sit ob eamque causam vel prudentia vel providentia appellari recte possit (Graece enim πρόνοια dicitur), haec potissimum providet et in his maxime est occupata, primum ut mundus quam aptissimus sit ad permanendum, deinde ut nulla re egeat, maxume autem ut in eo eximia pulchritudo sit atque omnis ornatus.

173 Cicero de divin. I 6. Sed cum Stoici omnia fere illa (scil. divinationis genera) defenderent, quod et Zeno in suis commentariis quasi semina quaedam sparsisset etc.

174 Diogenes Laërt. VII 149. καὶ μὴν καὶ μαντικὴν ὑφεστάναι πᾶσάν φασιν, εἰ καὶ πρόνοιαν εἶναι· καὶ αὐτὴν καὶ τέχνην ἀποφαίνουσι διά τινας ἐκβάσεις, ὥς φησι Ζήνων.

175 Diogenes Laërt. VII 149. καθ' εἱμαρμένην δέ φασι τὰ πάντα γίγνεσθαι Χρύσιππος ... καὶ Ποσειδώνιος ... καὶ Ζήνων——(ἔστι δὲ εἱμαρμένη αἰτία τῶν ὄντων εἰρομένη ἢ λόγος καθ' ὃν ὁ κόσμος διεξάγεται).

176 Aëtius I 27, 5 (DDG p. 322b 9). Ζήνων ὁ Στωικὸς ἐν τῷ περὶ φύσεως (τὴν εἱμαρμένην) δύναμιν κινητικὴν τῆς ὕλης κατὰ ταὐτὰ καὶ ὡσαύτως, ἥντινα μὴ διαφέρειν πρόνοιαν καὶ φύσιν καλεῖν. —Theodoret. Graec. Aff. Cur. VI 14 p. 153 Ra. Ζήνων δὲ ὁ Κιτιεὺς δύναμιν κέκληκε τὴν εἱμαρμένην κινητικὴν τῆς ὕλης· τὴν δὲ αὐτὴν καὶ πρόνοιαν καὶ φύσιν ὠνόμασεν.

177 Epiphanius adv. haeres. III 2, 9 (III 36) Diels p. 592. τὰς δὲ αἰτίας τῶν πραγμάτων πῇ μὲν ἐφ' ἡμῖν, πῇ δὲ οὐκ ἐφ' ἡμῖν, τουτέστι τὰ μὲν τῶν πραγμάτων ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν.

178 Diogenes Laërt. VII 84. τὸ δὲ ἠθικὸν μέρος τῆς φιλοσοφίας διαιροῦσιν εἴς τε τὸν περὶ ὁρμῆς καὶ εἰς τὸν περὶ ἀγαθῶν καὶ κακῶν τόπον καὶ εἰς τὸν περὶ παθῶν καὶ περὶ ἀρετῆς καὶ περὶ τέλους περί τε τῆς πρώτης ἀξίας καὶ τῶν πράξεων καὶ περὶ τῶν καθηκόντων προτροπῶν τε καὶ ἀποτροπῶν· [καὶ] οὕτω δ' ὑποδιαιροῦσιν οἱ περὶ Χρύσιππον κ.τ.λ. ὁ μὲν γὰρ Κιτιεὺς Ζήνων καὶ ὁ Κλεάνθης ὡς ἂν ἀρχαιότεροι ἀφελέστερον περὶ τῶν πραγμάτων διέλαβον.

179 Diogenes Laërt. VII 87. διόπερ πρῶτος ὁ Ζήνων ἐν τῷ περὶ ἀνθρώπου φύσεως τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν, ὅπερ ἐστὶ κατ' ἀρετὴν ζῆν· ἄγει γὰρ πρὸς ταύτην ἡμᾶς ἡ φύσις. — Stobaeus Ecl. II p. 75, 11 W. τὸ δὲ τέλος ὁ μὲν Ζήνων οὕτως ἀπέδωκε „τὸ ὁμολογουμένως ζῆν·“ τοῦτο δ' ἔστι καθ' ἕνα λόγον καὶ σύμφωνον ζῆν, ὡς τῶν μαχομένως ζώντων κακοδαιμονούντων. Cic. de fin. IV 14. hunc ipsum Zenonis aiunt esse finem, declarantem illud, quod a te dictum est, convenienter naturae vivere.— ibid. III 21. summum ... bonum, quod cum positum sit in eo, quod ὁμολογίαν Stoici, nos appellemus convenientiam, etc.— Lactant. inst. div. III 7. Zenonis (summum bonum) cum natura congruenter vivere.— id. III 8. audiamus igitur Zenonem; nam is interdum virtutem somniat. Summum, inquit, est bonum cum natura

Eulogikon public reading copy · View original HTML at eulogikon.org

consentanee vivere. Philo quod omnis probus liber Vol. II p. 470, 27 Mang. πρὸς τέλος αἴσιον οὐ Ζηνώνειον μᾶλλον ἢ πυθόχρηστον ἀφίξονται τὸ ἀκολούθως τῇ φύσει ζῆν.

180 Clemens Alex. Strom. II 21 p. 496 P. πάλιν δ' αὖ Ζήνων μὲν ὁ Στωϊκὸς τέλος ἡγεῖται τὸ κατ' ἀρετὴν ζῆν.

181 Cicero Acad. Pr. II 131. Honeste autem vivere, quod ducatur a conciliatione naturae, Zeno statuit finem esse bonorum, qui inventor et princeps Stoicorum fuit.

182 Arrianus Epict. diss. I 20, 14. καίτοι αὐτὸς μὲν ὁ προηγούμενος λόγος τῶν φιλοσόφων λίαν ἐστὶν ὀλίγος. εἰ θέλεις γνῶναι, ἀνάγνωθι τὰ Ζήνωνος, καὶ ὄψει· τί γὰρ ἔχει μακρὸν εἰπεῖν ὅτι τέλος ἐστὶ τὸ ἕπεσθαι θεοῖς, οὐσία δ' ἀγαθοῦ χρῆσις οἵα δεῖ φαντασιῶν; λέγε „τί οὖν ἐστι θεὸς καὶ τί φαντασία, καὶ τί ἐστι φύσις ἡ ἐπὶ μέρους καὶ τί ἐστι φύσις ἡ τῶν ὅλων;" ἤδη μακρόν.

183 Plutarchus de comm. not. 23, 1 p. 1069f. οὐχὶ καὶ Ζήνων τούτοις (scil. Peripateticis) ἠκολούθησεν ὑποτιθεμένοις στοιχεῖα τῆς εὐδαιμονίας τὴν φύσιν καὶ τὸ κατὰ φύσιν;

184 Stobaeus Ecl. II p. 77, 20 W. τὴν δὲ εὐδαιμονίαν ὁ Ζήνων ὡρίσατο τὸν τρόπον τοῦτον· εὐδαιμονία δ' ἐστὶν εὔροια βίου.— Sextus adv. math. XI 30. εὐδαιμονία δέ ἐστιν, ὡς οἵ τε περὶ τὸν Ζήνωνα καὶ Κλεάνθην καὶ Χρύσιππον ἀπέδοσαν, εὔροια βίου.

185 Cicero Tusc. disp. II 29. Nihil est, inquit (Zeno), malum, nisi quod turpe atque vitiosum est ... Numquam quidquam, inquit (scil. doleas necne interest), ad beate quidem vivendum, quod est in una virtute positum, sed est tamen reiciendum. Cur? Asperum est, contra naturam, difficile perpessu, triste, durum.— ib. V 27. si Stoicus Zeno diceret qui, nisi quod turpe esset, nihil malum duceret.

186 Augustinus contra Acad. III 7, 16. clamat Zenon et tota illa porticus tumultuatur hominem natum ad nihil esse aliud quam honestatem; ipsam suo splendore ad se animos ducere, nullo prorsus commodo extrinsecus posito et quasi lenocinante mercede; voluptatemque illam Epicuri solis inter se pecoribus esse communem; in quorum societatem et hominem et sapientem trudere nefas esse.

187 Diogenes Laërt. VII 127. αὐτάρκη τε εἶναι αὐτὴν (scil. τὴν ἀρετήν) πρὸς εὐδαιμονίαν, καθά φησι Ζήνων. Cic. de fin. V 79. a Zenone hoc magnifice tamquam ex oraculo editur: „virtus ad bene vivendum se ipsa contenta est."

188 Cicero Acad. Post. I 35. Zeno igitur nullo modo is erat, qui, ut Theophrastus, nervos virtutis incideret, sed contra, qui omnia, quae ad beatam vitam pertinerent, in una virtute poneret nec quidquam aliud numeraret in bonis idque appellaret honestum, quod esset simplex quoddam et solum et unum bonum.

189 Cicero de fin. IV 47. errare Zenonem, qui nulla in re nisi in virtute [aut vitio] propensionem ne minimi quidem momenti ad summum bonum adipiscendum esse diceret, et, cum ad beatam vitam nullum momentum eae res haberent, ad appetitionem tamen rerum esse in iis momenta diceret.— ib. IV 60. Zeno autem quod suam, quod propriam speciem habeat cur appetendum sit, id solum bonum appellat, beatam autem vitam eam solam, quae cum virtute degatur.— ib. IV 48. Quid autem minus consentaneum est, quam quod aiunt, cognito summo bono reverti se ad naturam, ut ex ea petant agendi principium, id est officii?

190 Stobaeus Ecl. II p. 57, 18 W. ταῦτ' εἶναί φησιν ὁ Ζήνων ὅσα οὐσίας μετέχει, τῶν δ' ὄντων τὰ μὲν ἀγαθά, τὰ δὲ κακά, τὰ δὲ ἀδιάφορα. ἀγαθὰ μὲν τὰ τοιαῦτα· φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν καὶ πᾶν ὅ ἐστιν ἀρετὴ ἢ μετέχον ἀρετῆς· κακὰ δὲ τὰ τοιαῦτα· ἀφροσύνην, ἀκολασίαν, ἀδικίαν, δειλίαν, καὶ πᾶν ὅ ἐστι κακία ἢ μετέχον κακίας· ἀδιάφορα δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ τοιαῦτα· ζωὴν θάνατον, δόξαν ἀδοξίαν, πόνον ἡδονήν, πλοῦτον πενίαν, νόσον ὑγίειαν, καὶ τὰ τούτοις ὅμοια.

191 Cicero Acad. post. I 36. Cetera autem, etsi nec bona nec mala essent, tamen alia secundum naturam dicebat (Zeno), alia naturae esse contraria. His ipsis alia interiecta et media numerabat. Quae autem secundum naturam essent, ea sumenda et quadam aestimatione dignanda dicebat, contraque contraria; neutra autem in mediis relinquebat, in quibus ponebat nihil omnino esse momenti.

192 Stobaeus Ecl. II p. 84, 21 W. τῶν δ' ἀξίαν ἐχόντων τὰ μὲν ἔχειν πολλὴν ἀξίαν, τὰ δὲ βραχεῖαν. ὁμοίως δὲ καὶ τῶν ἀπαξίαν ἐχόντων ἃ μὲν ἔχειν πολλὴν ἀπαξίαν, ἃ δὲ βραχεῖαν. τὰ μὲν οὖν πολλὴν ἔχοντα ἀξίαν προηγμένα λέγεσθαι, τὰ δὲ πολλὴν ἀπαξίαν ἀποπροηγμένα, Ζήνωνος ταύτας τὰς ὀνομασίας θεμένου πρώτου τοῖς πράγμασι. προηγμένον δ' εἶναι λέγουσιν, ὃ ἀδιάφορον 〈ὂν〉 ἐκλεγόμεθα κατὰ προηγούμενον λόγον. τὸν δὲ ὅμοιον λόγον ἐπὶ τῷ ἀποπροηγμένῳ εἶναι καὶ τὰ παραδείγματα κατὰ τὴν ἀναλογίαν ταὐτά. οὐδὲν δὲ τῶν ἀγαθῶν εἶναι προηγμένον διὰ τὸ τὴν μεγίστην ἀξίαν αὐτὰ ἔχειν. τὸ δὲ προηγμένον, τὴν δευτέραν χώραν καὶ ἀξίαν ἔχον, συνεγγίζειν πως τῇ τῶν ἀγαθῶν φύσει· οὐδὲ γὰρ ἐν αὐλῇ τῶν προηγμένων εἶναι τὸν βασιλέα, ἀλλὰ τοὺς μετ' αὐτὸν τεταγμένους. προηγμένα δὲ λέγεσθαι οὐ τῷ πρὸς εὐδαιμονίαν τινὰ συμβάλλεσθαι συνεργεῖν τε πρὸς αὐτήν, ἀλλὰ τῷ ἀναγκαῖον εἶναι τούτων τὴν ἐκλογὴν ποιεῖσθαι παρὰ τὰ ἀποπροηγμένα.—Plut. de Sto. Rep. 30, 1.

193 Cicero Acad. Post. I 37. (de Zenon e) Sed quae essent sumenda ex iis alia pluris esse aestimanda, alia minoris. Quae pluris, ea praeposita appellabat, reiecta autem, quae minoris.

194 Cicero de finibus III 52. Sed non alienum est, quo facilius vis verbi intellegatur, rationem huius [verbi] faciendi Zenonis exponere. Ut enim, inquit, nemo dicit in regia regem ipsum quasi productum esse ad dignitatem (id est enim προηγμένον ), sed eos, qui in aliquo honore sunt, quorum ordo proxime accedit, ut secundus sit, ad regium principatum, sic in vita non ea, quae primo loco sunt, sed ea quae secundum locum obtinent, προηγμένα , id est producta, nominentur.

195 Gellius Noct. Att. IX 5, 5. Zeno censuit voluptatem esse indifferens, id est neutrum, neque bonum neque malum, quod ipse graeco vocabulo ἀδιάφορον appellavit.

196 Senec. Epist. 82, 7. Zenon noster hac collectione utitur: „Nullum malum gloriosum esse; mors autem gloriosa est; mors ergo non est malum.“

197 Porphyrius de Abstin. III 19. οἰκειώσεως πάσης καὶ ἀλλοτριώσεως ἀρχὴ τὸ αἰσθάνεσθαι. τὴν δὲ οἰκείωσιν ἀρχὴν τίθενται δικαιοσύνης οἱ ἀπὸ Ζήνωνος. Verba οἰκειώσεως—αἰσθάνεσθαι quamquam Porphyrii sunt, non Zenonis, adscripsi, quia ex sententia Stoicorum Porphyrius loqui videtur.

198 Cicero de finibus IV 45. Mihi autem aequius videbatur Zenonem cum Polemone disceptantem, a quo quae essent principia naturae acceperat, a communibus initiis progredientem videre, ubi primum insisteret, et unde causa controversiae nasceretur, non stantem cum iis, qui ne dicerent quidem sua summa bona esse a natura profecta, uti isdem argumentis, quibus illi uterentur, isdemque sententiis.

199 Cicero Acad. Post. I 38. Cumque superiores non omnem virtutem in ratione esse dicerent, sed quasdam virtutes natura aut more perfectas, hic (scil. Zen o) omnes in ratione ponebat; cumque illi ea genera virtutum, quae supra dixi, seiungi posse arbitrarentur, hic nec id ullo modo fieri posse disserebat, nec virtutis usum modo, ut superiores, sed ipsum habitum per se esse praeclarum, nec tamen virtutem cuiquam adesse, quin ea semper uteretur.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

200 Plutarchus de Stoic. rep. 7 p. 1034c. ἀρετὰς ὁ Ζήνων ἀπολείπει πλείονας κατὰ διαφοράς, ὥσπερ ὁ Πλάτων, οἷον φρόνησιν ἀνδρείαν σωφροσύνην δικαιοσύνην, ὡς ἀχωρίστους μὲν οὔσας, ἑτέρας δὲ καὶ διαφερούσας ἀλλήλων. πάλιν δὲ ὁριζόμενος αὐτῶν ἑκάστην, τὴν μὲν ἀνδρείαν φησὶ φρόνησιν εἶναι ἐν 〈ὑπομενετέοις· τὴν δὲ ......... φρόνησιν ἐν〉 ἐνεργητέοις· τὴν δὲ δικαιοσύνην φρόνησιν ἐν ἀπονεμητέοις· ὡς μίαν οὖσαν ἀρετήν, ταῖς δὲ πρὸς τὰ πράγματα σχέσεσι κατὰ τὰς ἐνεργείας διαφέρειν δοκοῦσαν.—Diogenes Laërt. VII 161. ἀρετάς τε οὔτε πολλὰς εἰσῆγεν (scil. Aristo) ὡς ὁ Ζήνων.

201 Plutarchus de virt. mor. 2 p. 441a. ἔοικε δὲ καὶ Ζήνων εἰς τοῦτό πως ὑποφέρεσθαι ὁ Κιτιεύς, ὁριζόμενος τὴν φρόνησιν ἐν μὲν ἀπονεμητέοις δικαιοσύνην, ἐν δ’ αἱρετέοις σωφροσύνην, ἐν δ’ ὑπομενετέοις ἀνδρείαν. ἀπολογούμενοι δ’ ἀξιοῦσιν ἐν τούτοις τὴν ἐπιστήμην φρόνησιν ὑπὸ τοῦ Ζήνωνος ὠνομάσθαι.

202 Plutarchus de virt. mor. c. 3 p. 441c. κοινῶς δὲ ἅπαντες οὗτοι (scil. Menedemus, Aristo, Zeno, Chrysippus) τὴν ἀρετὴν τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς διάθεσίν τινα καὶ δύναμιν γεγενημένην ὑπὸ λόγου, μᾶλλον δὲ λόγον οὖσαν αὐτὴν ὁμολογούμενον καὶ βέβαιον καὶ ἀμετάπτωτον ὑποτίθενται· καὶ νομίζουσιν οὐκ εἶναι τὸ παθητικὸν καὶ ἄλογον διαφορᾷ τινι καὶ φύσει ψυχῆς τοῦ λογικοῦ διακεκριμένον, ἀλλὰ τὸ αὐτὸ τῆς ψυχῆς μέρος, ὃ δὴ καλοῦσι διάνοιαν καὶ ἡγεμονικόν, διόλου τρεπόμενον καὶ μεταβάλλον ἔν τε τοῖς πάθεσι καὶ ταῖς κατὰ ἕξιν ἢ διάθεσιν μεταβολαῖς, κακίαν τε γίνεσθαι καὶ ἀρετήν, καὶ μηδὲν ἔχειν ἄλογον ἐν ἑαυτῷ· λέγεσθαι δὲ ἄλογον, ὅταν τῷ πλεονάζοντι τῆς ὁρμῆς ἰσχυρῷ γενομένῳ καὶ κρατήσαντι πρός τι τῶν ἀτόπων παρὰ τὸν αἱροῦντα λόγον ἐκφέρηται· καὶ γὰρ τὸ πάθος εἶναι λόγον πονηρὸν καὶ ἀκόλαστον, ἐκ φαύλης καὶ διημαρτημένης κρίσεως σφοδρότητα καὶ ῥώμην προσλαβόντα.

203 Stobaeus Ecl. II 7, 1 p. 38, 15 W. οἱ δὲ κατὰ Ζήνωνα τὸν Στωικὸν τροπικῶς· ἦθός ἐστι πηγὴ βίου, ἀφ’ ἧς αἱ κατὰ μέρος πράξεις ῥέουσι.

204 Diogenes Laërt. VII 173. κατὰ Ζήνωνα καταληπτὸν εἶναι τὸ ἦθος ἐξ εἴδους.—Aëtius IV 9, 17 (DDG p. 398). οἱ Στωικοὶ τὸν σοφὸν αἰσθήσει καταληπτὸν ἀπὸ τοῦ εἴδους τεκμηριωδῶς.

205 Diogenes Laërt. VII 110. ἔστι δὲ αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις, ἢ ὁρμὴ πλεονάζουσα. Cicero Tusc. disp. IV 11. est igitur Zenonis haec definitio ut perturbatio sit, quod πάθος ille dicit, aversa a recta ratione contra naturam animi commotio. Quidam brevius, perturbationem esse appetitum vehementiorem.— ib. 47. definitio perturbationis, qua recte Zenonem usum puto; ita enim definit, ut perturbatio sit aversa a ratione contra naturam animi commotio, vel brevius, ut perturbatio sit appetitus vehementior, vehementior autem intellegatur is, qui procul absit a naturae constantia.—Cicero de off. I § 136. perturbationes, id est, motus animi nimios rationi non obtemperantes. Stobaeus Ecl. II 7, 2 p. 44, 4. πᾶν πάθος ὁρμὴ πλεονάζουσα.— ib. 7, 10 p. 88, 8. πάθος δ’ εἶναί φασιν ὁρμὴν πλεονάζουσαν καὶ ἀπειθῆ τῷ αἱροῦντι λόγῳ ἢ κίνησιν ψυχῆς 〈ἄλογον〉 παρὰ φύσιν.—Plut. in fragm. utr. anim. an corp. libid. et aegrit. c. 7 Andron. περὶ παθῶν c. 1.

206 Stobaeus Ecl. II 7, 1 p. 39, 5 W. ὡς δ’ ὁ Στωικὸς ὡρίσατο Ζήνων· πάθος ἐστὶν ὁρμὴ πλεονάζουσα. οὐ λέγει „πεφυκυῖα πλεονάζειν,“ ἀλλ’ ἤδη ἐν πλεονασμῷ οὖσα· οὐ γὰρ δυνάμει, μᾶλλον δ’ ἐνεργείᾳ. ὡρίσατο δὲ κἀκείνως· „πάθος ἐστὶ πτοία ψυχῆς, “ ἀπὸ τῆς τῶν πτηνῶν φορᾶς τὸ εὐκίνητον τοῦ παθητικοῦ παρεικάσας.

207 Cicero Acad. Post. I 38. cumque perturbationem animi illi ex homine non tollerent——sed ea contraherent in angustumque deducerent, hic (scil. Zen o) omnibus his quasi morbis voluit carere sapientem; cumque eas perturbationes antiqui naturales esse dicerent et rationis expertes aliaque in parte animi cupiditatem, alia rationem collocarent, ne his quidem

Eulogikon public reading copy · View original HTML at eulogikon.org

adsentiebatur. nam et perturbationes voluntarias esse putabat opinionisque iudicio suscipi et omnium perturbationum matrem esse arbitrabatur immoderatam quandam intemperantiam. —

208 Themistius de An. 90b Spengel II 197, 24. καὶ οὐ κακῶς οἱ ἀπὸ Ζήνωνος τὰ πάθη τῆς ἀνθρωπίνης ψυχῆς τοῦ λόγου διαστροφὰς εἶναι τιθέμενοι καὶ λόγου κρίσεις ἡμαρτημένας.

209 Galenus de Hippocr. et Plat. plac. V I (V 429 K., p. 405 ed. Iu. Müller). Ζήνων οὐ τὰς κρίσεις αὐτὰς ἀλλὰ τὰς ἐπιγιγνομένας αὐταῖς συστολὰς καὶ διαχύσεις ἐπάρσεις τε καὶ [τὰς] πτώσεις τῆς ψυχῆς ἐνόμιζεν εἶναι τὰ πάθη.—ib. IV 3 (V 377 K. p. 348 ed. Iu. Müller). καὶ γὰρ Ζήνωνι κατά γε τοῦτο—καὶ πολλοῖς ἄλλοις μάχεται τῶν Στωϊκῶν, οἳ οὐ τὰς κρίσεις αὐτὰς τῆς ψυχῆς ἀλλὰ [καὶ] τὰς ἐπὶ ταύταις ἀλόγους συστολὰς καὶ ταπεινώσεις καὶ δήξεις ἐπάρσεις τε καὶ διαχύσεις ὑπολαμβάνουσιν εἶναι τὰ τῆς ψυχῆς πάθη.

210 Galenus de Hippocr. et Plat. plac. III 5 (V p. 332 K., p. 299 Iu. Müller). καὶ μηκέτι παρ' ἡμῶν ἑτέραν ἐπιζητεῖν ἀπόδειξιν ὑπὲρ τοῦ τοὺς φόβους καὶ τὰς λύπας καὶ πάνθ' ὅσα τοιαῦτα πάθη κατὰ τὴν καρδίαν συνίστασθαι. ἀλλὰ τοῦτο μὲν καὶ παρ' αὐτῶν ὁμολογούμενον λαμβάνεται τῶν Στωϊκῶν· οὐ μόνον γὰρ Χρύσιππος ἀλλὰ καὶ Κλεάνθης καὶ Ζήνων ἑτοίμως αὐτὸ τιθέασιν.

211 Diogenes Laërt. VII 110. τῶν παθῶν τὰ ἀνωτάτω (καθά φησιν ... Ζήνων ἐν τῷ περὶ παθῶ ν) εἶναι γένη τέτταρα, λύπην, φόβον, ἐπιθυμίαν, ἡδονήν.—Stob. Ecl. II 7,10 p. 88,14. πρῶτα δ' εἶναι τῷ γένει ταῦτα τὰ τέσσαρα, ἐπιθυμίαν, φόβον, λύπην, ἡδονήν. Cicero Tusc. disp. III 74, 75. Satis dictum esse arbitror aegri-

212 tudinem esse opinionem mali praesentis, in qua opinione illud insit, ut aegritudinem suscipere oporteat. Additur ad hanc definitionem a Zenone reste, ut illa opinio praesentis mali sit arecents. Galen de Hipp. et Plat. plac. IV 7 (p. 416 K., p. 391 Iu. Müller). „ὁ γοῦν ὅρος οὗτος," φησίν (Posidonius), „ὁ τῆς λύπης, ὥσπερ οὖν καὶ ἄλλοι πολλοὶ τῶν παθῶν ὑπό τε Ζήνωνος εἰρημένοι καὶ πρὸς τοῦ Χρυσίππου γεγραμμένοι σαφῶς ἐξελέγχουσι τὴν γνώμην αὐτοῦ. δόξαν γὰρ εἶναι πρόσφατον τοῦ κακὸν αὐτῷ παρεῖναί φησι τὴν λύπην. ἐν ᾧ καὶ συντομώτερον ἐνίοτε λέγοντες ὧδέ πως προφέρονται· λύπη ἐστὶ δόξα πρόσφατος κακοῦ παρουσίας."

213 Lactantius Inst. div. III 23. inter vitia et morbos misericordiam ponit (Zeno).— id. Epist. ad Pentad. 38. Zeno Stoicorum magister, qui virtutem laudat, misericordiam ... tamquam morbum animi diiudicavit.

214 Cicero pro Mur. § 61. sapientem gratia nunquam moveri, nunquam cuiusquam delicto ignoscere; neminem misericordem esse nisi stultum et levem; viri non esse neque exorari neque placari.

215 Seneca de Ira I 16,7. Nam, ut dicit Zenon, in sapi entis quoque animo, etiam cum vulnus sanatum est, cicatrix manet. Sentiet itaque suspiciones quasdam et umbras affectuum, ipsis quidem carebit.

216 Stobaeus Ecl. II 7, 11g p. 99, 3 W. ἀρέσκει γὰρ τῷ τε Ζήνωνι καὶ τοῖς ἀπ' αὐτοῦ Στωικοῖς φιλοσόφοις δύο γένη τῶν ἀνθρώπων εἶναι, τὸ μὲν τῶν σπουδαίων, τὸ δὲ τῶν φαύλων· καὶ τὸ μὲν τῶν σπουδαίων διὰ παντὸς τοῦ βίου χρῆσθαι ταῖς ἀρεταῖς, τὸ δὲ τῶν φαύλων ταῖς κακίαις· ὅθεν τὸ μὲν ἀεὶ κατορθοῦν ἐν ἅπασιν οἷς προστίθεται, τὸ δὲ ἁμαρτάνειν. καὶ τὸν μὲν σπουδαῖον ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενον ἐν τοῖς πραττομένοις ὑπ' αὐτοῦ πάντ' εὖ ποιεῖν, καθάπερ φρονίμως καὶ σωφρόνως καὶ κατὰ τὰς ἄλλας ἀρετάς· τὸν δὲ φαῦλον κατὰ τοὐναντίον κακῶς. καὶ τὸν μὲν σπουδαῖον μέγαν καὶ ἁδρὸν καὶ ὑψηλὸν καὶ ἰσχυρόν. μέγαν μὲν ὅτι δύναται ἐφικνεῖσθαι τῶν κατὰ προαίρεσιν ὄντων αὐτῷ καὶ προκειμένων· ἁδρὸν δέ, ὅτι ἐστὶν ηὐξημένος πάντοθεν· ὑψηλὸν δ', ὅτι μετείληφε τοῦ ἐπιβάλλοντος ὕψους ἀνδρὶ γενναίῳ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σοφῷ. καὶ ἰσχυρὸν δ’, ὅτι τὴν ἐπιβάλλουσαν ἰσχὺν περιπεποίηται, ἀήττητος ὢν καὶ ἀκαταγώνιστος. παρ’ ὃ καὶ οὔτε ἀναγκάζεται ὑπό τινος οὔτε ἀναγκάζει τινα, οὔτε κωλύεται οὔτε κωλύει, οὔτε βιάζεται ὑπό τινος οὔτ’ αὐτὸς βιάζει τινα, οὔτε δεσπόζει οὔτε δεσπόζεται, οὔτε κακοποιεῖ τινα οὔτ’ αὐτὸς κακοποιεῖται, οὔτε κακοῖς περιπίπτει 〈οὔτ’ ἄλλον ποιεῖ κακοῖς περιπίπτειν〉, οὔτε ἐξαπατᾶται οὔτε ἐξαπατᾷ ἄλλον, οὔτε διαψεύδεται οὔτε ἀγνοεῖ οὔτε λανθάνει ἑαυτόν, οὔτε καθόλου ψεῦδος ὑπολαμβάνει· εὐδαίμων δέ ἐστιν μάλιστα καὶ εὐτυχὴς καὶ μακάριος καὶ ὄλβιος καὶ εὐσεβὴς καὶ θεοφιλὴς καὶ ἀξιωματικός, βασιλικός τε καὶ στρατηγικὸς καὶ πολιτικὸς καὶ οἰκονομικὸς καὶ χρηματιστικός. τοὺς δὲ φαύλους ἅπαντα τούτοις ἐναντία ἔχειν.

217 Athenaeus IV 158 B. Στωικὸν δὲ δόγμα ἐστίν· ὅτι πάντα τε εὖ ποιήσει ὁ σοφὸς καὶ φακῆν φρονίμως ἀρτύσει· διὸ καὶ Τίμων ὁ Φλιάσιος ἔφη (fr. 22 Wachsm.) [καὶ] „Ζηνώνειόν γε φακῆν ἕψειν ὃς μὴ φρονίμως μεμάθηκεν“ ὡς οὐκ ἄλλως δυναμένης ἑψηθῆναι φακῆς εἰ μὴ κατὰ τὴν Ζηνώνειον ὑφήγησιν ὃς ἔφη „εἰς δὲ φακῆν ἔμβαλλε δυωδέκατον κοριάννου.“

218 Philo περὶ τοῦ πάντα σπουδαῖον ἐλεύθερον εἶναι Vol. II p. 45 Mang. ἄξιον τὸ Ζηνώνειον ἐπιφωνῆσαι ὅτι θᾶττον ἂν ἀσκὸν βαπτίσαις πλήρη πνεύματος ἢ βιάσαιο τὸν σπουδαῖον ὀντινοῦν ἄκοντα δρᾶσαί τι τῶν ἀβουλήτων· ἀνένδοτος γὰρ καὶ ἀήσσητος ψυχή, ἣν ὀρθὸς λόγος δόγμασι παγίοις ἐνεύρωσε.

219 Plutarchus de aud. poët. 12 p. 33d. καὶ ὁ Ζήνων ἐπανορθούμενος τὸ τοῦ Σοφοκλέους (Nauck fr. trag. p. 253) ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται, κείνου ’στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ μετέγραφεν οὐκ ἔστι δοῦλος, ἢν ἐλεύθερος μόλῃ, τῷ ἐλευθέρῳ νῦν συνεκφαίνων τὸν ἀδεᾶ καὶ μεγαλόφρονα καὶ ἀταπείνωτον.

220 Cicero de finibus V 84. Paupertas si malum est, mendicus esse beatus nemo potest, quamvis sit sapiens. At Zeno eum non beatum modo, sed etiam divitem dicere ausus est.— idem pro Murena § 61. solos sapientes esse, si mendicissimi, divites.

221 Cicero pro Mur. § 61. solos sapientes esse, si distortissimi, formosos.— de fin. III 75. recte etiam pulcher appellabitur: animi enim lineamenta sunt pulchriora quam corporis.

222 Diogenes Laërt. VII 33. πάλιν ἐν τῇ πολιτείᾳ παριστάντα πολίτας καὶ φίλους καὶ οἰκείους καὶ ἐλευθέρους τοὺς σπουδαίους μόνον.

223 Clemens Alex. Strom. V 14, 95 p. 703P. Ζήνων τε ὁ Στωϊκός, παρὰ Πλάτωνος λαβών, ὁ δὲ ἀπὸ τῆς βαρβάρου φιλοσοφίας, τοὺς ἀγαθοὺς πάντας ἀλλήλων εἶναι φίλους λέγει.

223a Plutarchus vita Arati 18. ὕστερον δὲ λέγεται σχολάζων (scil. Persaeus) πρὸς τὸν εἰπόντα μόνον αὐτῷ δοκεῖν στρατηγὸν εἶναι τὸν σοφόν „ἀλλὰ νὴ θεούς, φάναι, τοῦτο μάλιστα κἀμοί ποτε τῶν Ζήνωνος ἤρεσκε δογμάτων etc.“

224 Diogenes Laërt. VII 120. ἀρέσκει τε αὐτοῖς ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα, καθά φησι ... Ζήνων.— Sextus adv. math. VII 422. κἀντεῦθεν ὁρμώμενοι οἱ περὶ τὸν Ζήνωνα ἐδίδασκον ὅτι ἴσα ἐστὶ τὰ ἁμαρτήματα. Cicero pro Mur. § 61. omnia peccata esse paria.— Lactantius Inst. div. III 23. Zenonis paria peccata quis probat?

225 Cicero pro Mur. § 61. omne delictum scelus esse nefarium, nec minus delinquere eum, qui gallum gallinaceum, cum opus non fuerit, quam eum, qui patrem suffocaverit.

226 Cassius scepticus ap. Diog. Laërt. VII 32. ἐχθροὺς καὶ πολεμίους καὶ δούλους καὶ ἀλλοτρίους λέγειν αὐτὸν (Ζήνωνα) ἀλλήλων εἶναι πάντας τοὺς μὴ σπουδαίους, καὶ γονεῖς τέκνων καὶ ἀδελφοὺς ἀδελφῶν 〈καὶ〉 οἰκείους οἰκείων.

227

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Cicero pro Mur. § 61. nos autem, qui sapientes non sumus, fugitivos, exules, hostes, insanos denique esse dicunt.

228 Philo quod omnis probus liber Vol. II p. 453, 26 Mang. ὁ δὲ Ζήνων εἰ καί τις ἄλλος ὑπ’ ἀρετῆς ἀχθεὶς νεανικώτερον ἀποδείκνυσι περὶ τοῦ μὴ εἶναι τοῖς φαύλοις ἰσηγορίαν πρὸς ἀστείους. φησὶ γάρ· „οὐκ οἰμώξεται ὁ φαῦλος, ἐὰν ἀντιλέγῃ τῷ σπουδαίῳ; οὐκ ἄρ’ ἐστὶν ἰσηγορία τῷ φαύλῳ πρὸς σπουδαῖον.“

229 Seneca Epist. 83, 9. Vult nos ab ebrietate deterrere Zenon, vir maximus, huius sectae fortissimae ac sanctissimae conditor, audi ergo, quomodo colligat virum bonum non futurum ebrium. „Ebrio secretum sermonem nemo committit: viro autem bono committit: ergo vir bonus ebrius non erit.“ Philo de Plantatione Noë II p. 356 Mang., § 176 Wendland. εἰ τῷ μεθύοντι οὐκ ἄν τις εὐλόγως λόγον ἀπόῤῥητον παρακατάθοιτο, 〈τῷ δὲ σοφῷ παρακατατίθενται〉, οὐκ ἄρα μεθύει ὁ ἀστεῖος.

230 Diogenes Laërt. VII 107. 108. ἔτι δὲ καθῆκόν φασιν εἶναι ὃ πραχθὲν εὔλογόν [τε] ἴσχει ἀπολογισμόν· οἷον τὸ ἀκόλουθον ἐν τῇ ζωῇ, ὅπερ καὶ ἐπὶ τὰ φυτὰ καὶ ζῷα διατείνει. ὁρᾶσθαι γὰρ κἀπὶ τούτων καθήκοντα. κατωνομάσθαι δὲ οὕτως ὑπὸ πρώτου Ζήνωνος τὸ καθῆκον, ἀπὸ τοῦ κατά τινας ἥκειν τῆς προσονομασίας εἰλημμένης. Stobaeus Ecl. II 7. 8 p. 85, 13 W. ὁρίζεται δὲ τὸ καθῆκον· τὸ ἀκόλουθον ἐν ζωῇ, ὃ πραχθὲν εὔλογον ἀπολογίαν ἔχει· παρὰ τὸ καθῆκον δὲ τὸ ἐναντίως. τοῦτο διατείνει καὶ εἰς τὰ ἄλογα τῶν ζῴων, ἐνεργεῖ γάρ τι κἀκεῖνα ἀκολούθως τῇ ἑαυτῶν φύσει· ἐπὶ 〈δὲ〉 τῶν λογικῶν ζῴων οὕτως ἀποδίδοται· τὸ ἀκόλουθον ἐν βίῳ. Cicero de fin. III 58. est autem officium quod ita factum est ut eius facti probabilis ratio reddi possit.

231 Cicero Acad. Post. I 37. Atque ut haec non tam rebus quam vocabulis commutaverat (scil. Zeno de bonis et praepositis) sic inter recte factum atque peccatum officium et contra officium media locabat quaedam, recte facta sola in bonis actionibus ponens, prave, id est peccata, in malis; officia autem [et] servata praetermissaque media putabat.

232 Cicero de finibus IV 56. Postea tuus ille Poenulus (scis enim Citieos, clientes tuos, e Phoenicia profectos), homo igitur acutus, causam non obtinens repugnante natura verba versare coepit et primum rebus iis, quas nos bonas dicimus, concessit, ut haberentur aestimabiles et ad naturam accomodatae, faterique coepit sapienti, hoc est summe beato, commodius tamen esse, si ea quoque habeat, quae bona non audet appellare, naturae accommodata esse concedit, negatque Platonem, si sapiens non sit, eadem esse in causa, qua tyrannum Dionysium; huic mori optimum esse propter desperationem sapientiae, illi propter spem vivere; peccata autem partim esse tolerabilia, partim nullo modo, propterea quod alia peccata plures, alia pauciores quasi numeros officii praeterirent; iam insipientes alios ita esse, ut nullo modo ad sapientiam possent pervenire, alios qui possent, si id egissent, sapientiam consequi.

233 Galenus de cogn. animi morbis Vol. V p. 13 Kühn. οὕτω γοῦν καὶ Ζήνων ἠξίου πάντα πράττειν ἡμᾶς ἀσφαλῶς, ὡς ἀπολογησομένους ὀλίγον ὕστερον παιδαγωγοῖς· ὠνόμαζε γὰρ οὕτως ἐκεῖνος ὁ ἀνὴρ τοὺς πολλοὺς τῶν ἀνθρώπων, ἑτοίμους ὄντας τοῖς πέλας ἐπιτιμᾶν κἂν μηδεὶς αὐτοὺς παρακαλῇ.

234 Plutarchus de prof. in virt. 12 p. 82f. ὅρα δὴ καὶ τὸ τοῦ Ζήνωνος ὁποῖόν ἐστιν. ἠξίου γὰρ ἀπὸ τῶν ὀνείρων ἕκαστον αὑτοῦ συναισθάνεσθαι προκόπτοντος, εἰ μήθ’ ἡδόμενον αἰσχρῷ τινι ἑαυτὸν μήτε τι προσιέμενον ἢ πράττοντα τῶν δεινῶν καὶ ἀτόπων ὁρᾷ κατὰ τοὺς ὕπνους, ἀλλ’ οἷον ἐν βυθῷ γαλήνης ἀκλύστου καταφανεῖ διαλάμπει τῆς ψυχῆς τὸ φανταστικὸν καὶ παθητικὸν διακεχυμένον ὑπὸ τοῦ λόγου.

235

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Proclus ad Hesiod. Op. et D. 291. Ζήνων ὁ Στωικὸς ἐνήλλαττε τοὺς στίχους λέγων· κεῖνος μὲν πανάριστος ὃς εὖ εἰπόντι πίθηται· ἐσθλὸς δ’ αὖ κἀκεῖνος ὃς αὐτῷ πάντα νοήσῃ, τῇ εὐπειθείᾳ τὰ πρωτεῖα διδούς, τῇ φρονήσει δὲ τὰ δευτερεῖα.— Diogenes Laërt. VII 25, 26. τούς τε Ἡσιόδου στίχους μεταγράφειν οὕτω (seq. versus). κρείττονα γὰρ εἶναι τὸν ἀκοῦσαι καλῶς δυνάμενον τὸ λεγόμενον καὶ χρῆσθαι αὐτῷ τοῦ δι’ αὑτοῦ τὸ πᾶν συννοήσαντος. τῷ μὲν γὰρ εἶναι μόνον τὸ συνεῖναι, τῷ δ’ εὖ πεισθέντι προσεῖναι καὶ τὴν πρᾶξιν.—Themistius Or. VIII 108 C. ἐμοὶ δὲ καὶ Ζήνων ὁ Κιτιεὺς λίαν ἀρεστὸς τὴν εὐπείθειαν ἀποφηνάμενος τῆς ἀγχινοίας ἀρετὴν εἶναι βασιλικωτέραν καὶ τὴν τάξιν τὴν Ἡσιόδου μεταθεὶς κ.τ.λ. —id. Or. XIII 171 D Hard. ὀρθῶς γὰρ ὑπελάμβανε Ζήνων ὁ Κιτιεὺς βασιλικωτέραν εἶναι τῆς ἀγχινοίας τὴν εὐπείθειαν.

236 Maximus Floril. c. 6 (Mai scriptor. vet. nov. coll. vol. II p. XXVII adn. 1). ὁ μὲν γεωργὸς ἀφ’ ὧν ἂν 〈φυτῶν〉 πολὺν καὶ καλὸν θέλῃ καρπὸν λαβεῖν, ὠφέλιμον ἑαυτὸν ἐκείνοις παρέχεται καὶ πάντα τρόπον ἐπιμελεῖται καὶ θεραπεύει· πολὺ δὲ μᾶλλον ἄνθρωποι 〈ἀνθρώποισ〉 τοῖς ὠφελίμοις πεφύκασι χαρίζεσθαι καὶ περὶ τοὺς τοιούτους μάλιστα σπουδάζειν. καὶ θαυμαστὸν οὐδέν. καὶ γὰρ καὶ τῶν μερῶν τοῦ σώματος ἐκείνων ἐπιμελούμεθα μᾶλλον, ἅπερ ὠφελιμώτερα ἑαυτοῖς πρὸς τὴν ὑπηρεσίαν νομίζομεν εἶναι. ὅθεν ὁμοίως, ὑφ’ ὧν εὖ πάσχειν ἀξιοῦμεν, ὠφελίμους αὐτοῖς ἔργοις, ἀλλὰ μὴ τοῖς λόγοις εἶναι δεῖ. οὐδὲ γὰρ ἡ ἐλαία τῷ θεραπεύοντι αὐτὴν ἐπαγάλλεται, ἀλλ’ ἐκφέρουσα πολλούς τε καὶ καλοὺς καρποὺς ἔπεισεν ἑαυτῆς ἐπιμελεῖσθαι μᾶλλον.

237 Stobaeus Flor. 14, 4 (Vol. I p. 469 Hense) = Anton. Meliss. ἔλεγχε σαυτόν, ὅστις εἶ, μὴ πρὸς χάριν ἄκου’, ἀφαιροῦ δὲ κολάκων παρρησίαν.

238 Stobaeus Floril. IV 106 (Vol. I p. 245 Hense). Ζήνων δὲ ἔφη γελοῖον ἑκάστου μὲν τοῖς παραγγέλμασιν ὡς δεῖ ζῆν μὴ προσέχειν, ὡς οὐκ εἰδότων, τὸν δὲ παρὰ πάντων ἔπαινον θαυμάζειν, ὡς ἐχόμενον κρίσεως.

239 Athenaeus VI 233 B. C. Ζήνων δὲ ὁ ἀπὸ τῆς Στοᾶς πάντα τἆλλα 〈φαίνεται〉 πλὴν τοῦ νομίμως αὐτοῖς (scil. auro et argento) καὶ καλῶς χρῆσθαι νομίσας ἀδιάφορα, τὴν μὲν αἵρεσιν αὐτῶν καὶ φυγὴν ἀπειπών, τὴν χρῆσιν δὲ τῶν λιτῶν καὶ ἀπερίττων προηγουμένως ποιεῖσθαι προστάσσων· ὅπως ἀδεῆ καὶ ἀθαύμαστον πρὸς τἆλλα τὴν διάθεσιν τῆς ψυχῆς ἔχοντες οἱ ἄνθρωποι, ὅσα μήτε καλά ἐστι μήτε αἰσχρά, τοῖς μὲν κατὰ φύσιν ὡς ἐπὶ πολὺ χρῶνται, τῶν δ’ ἐναντίων μηδὲν ὅλως δεδοικότες λόγῳ καὶ μὴ φόβῳ τούτων ἀπέχωνται.

240 Stobaeus Floril. VI 20 (Vol. I p. 285 Hense). ὁ Ζήνων ᾐτιᾶτο τοὺς πλείστους λέγων „ἐξὸν ἀπὸ τῶν πόνων τὰς ἡδονὰς φέρειν, ἀπὸ τῶν μαγειρείων λαμβάνουσιν.“

241 Clemens Alex. Strom. II 20 125 P. p. 494, S. p. 178. καλῶς ὁ Ζήνων ἐπὶ τῶν Ἰνδῶν ἔλεγεν ἕνα Ἰνδὸν παροπτώμενον ἐθέλειν 〈ἂν〉 ἰδεῖν ἢ πάσας τὰς περὶ πόνου ἀποδείξεις μαθεῖν.

242 Athenaeus XIII 565 D. ὁ δὲ σοφὸς ἐκεῖνος Ζήνων, ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος, προμαντευόμενος ὑμῶν, ὡς τὸ εἰκός, περὶ τοῦ βίου καὶ τῆς προσποιητοῦ ἐπιτηδεύσεως, ἔφη ὡς οἱ παρακούσαντες αὐτοῦ τῶν λόγων καὶ μὴ συνέντες ἔσονται ῥυπαροὶ καὶ ἀνελεύθεροι· καθάπερ οἱ τῆς Ἀριστίππου παρενεχθέντες. αἱρέσεως ἄσωτοι καὶ θρασεῖς.

243 Musonius περὶ κουρᾶς ap. Stob. Floril. 6, 24 (Vol. I p. 289 Hense). εὖ γὰρ εἴρηται, ἔφη, τὸ τοῦ Ζήνωνος ὅτι τούτου ἕνεκα καρτέον, οὗ καὶ κομητέον, τοῦ κατὰ φύσιν, ἵνα μὴ βαρούμενός τις ὑπὸ τῆς κόμης μηδ’ ἐνοχλούμενος ᾖ πρὸς μηδεμίαν ἐνέργειαν.

244 Origenes c. Celsum VII 63 p. 739. ἐκκλίνουσι τὸ μοιχεύειν οἱ τὰ τοῦ Κιτιέως Ζήνωνος φιλοσοφοῦντες ... διὰ τὸ κοινωνικόν· καὶ 〈γὰρ〉 παρὰ φύσιν εἶναι τῷ λογικῷ ζῴῳ νοθεύειν τὴν ὑπὸ τῶν νόμων ἑτέρῳ προκαταληφθεῖσαν γυναῖκα καὶ φθείρειν τὸν ἄλλου ἀνθρώπου οἶκον.

245 Diogenes Laërt. VII 22. δεῖν τε ἔλεγε τοὺς νέους πάσῃ κοσμιότητι χρῆσθαι ἐν πορείᾳ καὶ σχήματι καὶ περιβολῇ. συνεχές τε προεφέρετο τοὺς ἐπὶ τοῦ Καπανέως Εὐριπίδου στίχους (Suppl. v. 861 sq.) ὅτι βίος μὲν ἦν αὐτῷ, ἥκιστα δ’ ὄλβῳ γαῦρος ἦν, φρόνημα δὲ οὐδέν τι μεῖζον εἶχεν ἢ πένης ἀνήρ.

246 Clemens Alex. Paedag. III 11, 74 p. 296 P. ὑπογράφειν ὁ Κιτιεὺς ἔοικε Ζήνων εἰκόνα νεανίου καὶ οὕτως αὐτὸν ἀνδριαντουργεῖ· ἔστ ω , φησ ί , καθαρὸν τὸ πρόσωπο ν , ὀφρὺς μὴ καθειμέν η , μη δ ’ ὄμμα ἀναπεπταμένον μηδὲ διακεκλασμένο ν , μὴ ὕπτιος ὁ τράχηλο ς , μη δ ’ ἀνιέμενα τὰ τοῦ σώματος μέλ η , ἀλλὰ [ τ ὰ ] μετέωρα ἐντόνοις ὅμοια · ὀρθὸς νοῦς πρὸς τὸν λόγο ν , ὀξύτης καὶ κατοκωχὴ τῶν ὀρθῶς εἰρημένω ν , καὶ σχηματισμοὶ καὶ κινήσεις μηδὲν ἐνδιδοῦσαι τοῖς ἀκολάστοις ἐλπίδο ς . αἰδὼς μὲν ἐπανθείτω καὶ ἀρρενωπία · ἀπέστω δὲ καὶ ὁ ἀπὸ τῶν μυροπωλίων καὶ χρυσοχοείων καὶ ἐριοπωλίων ἄλυς καὶ ὁ ἀπὸ τῶν ἄλλων ἐργαστηρίω ν , ἔνθα καὶ ἑταιρικῶς κεκοσμημένο ι , ὥσπερ ἐπὶ τέγους καθεζόμενο ι , διημερεύουσι ν.

247 Athenaeus XIII 563 E (Stoicos Myrtilus adloquitur). ἐζηλωκότες τὸν ἀρχηγὸν ὑμῶν τῆς σοφίας Ζήνωνα τὸν Φοίνικα, ὃς οὐδεπώποτε γυναικὶ ἐχρήσατο, παιδικοῖς δ’ ἀεί, ὡς Ἀντίγονος ὁ Καρύστιος ἱστορεῖ ἐν τῷ περὶ τοῦ βίου αὐτοῦ· θρυλεῖτε γὰρ ὅτι „δεῖ μὴ τῶν σωμάτων ἀλλὰ τῆς ψυχῆς ἐρᾶν, “ οἵτινες μέχρι ὀκτὼ καὶ εἴκοσι ἐτῶν δεῖν λέγοντες συνέχειν τοὺς ἐρωμένους.

248 Diogenes Laërt. VII 129. καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν τῶν νέων τῶν ἐμφαινόντων διὰ τοῦ εἴδους τὴν πρὸς ἀρετὴν εὐφυΐαν, ὥς φησι Ζήνων ἐν τῇ πολιτεί ᾳ.

249 Sextus Pyrrh. hypotyp. III 200. καὶ τί θαυμαστόν, ὅπου γε καὶ οἱ ἀπὸ τῆς κυνικῆς φιλοσοφίας καὶ οἱ περὶ τὸν Κιτιέα Ζήνωνα καὶ Κλεάνθην καὶ Χρύσιππον ἀδιάφορον τοῦτο (i. e. ἀρρενομιξίαν) εἶναί φασιν;

250 Sextus Pyrrh. hypotyp. III 245. οἷον γοῦν ὁ αἱρεσιάρχης αὐτῶν Ζήνων ἐν ταῖς διατριβαῖς φησι περὶ παίδων ἀγωγῆς ἄλλα τε ὅμοια καὶ τάδε· „διαμηρίζειν μηδὲν μᾶλλον μηδὲ ἧσσον παιδικὰ ἢ μὴ παιδικὰ μηδὲ θήλεα ἢ ἄρρενα· οὐ γὰρ παιδικοῖς ἄλλα ἢ μὴ παιδικοῖς οὐδὲ θηλείαις ἢ ἄρρεσιν, ἀλλὰ ταὐτὰ πρέπει τε καὶ πρέποντά ἐστιν.“—id. adv. math. XI 190. καὶ μὴν περὶ μὲν παίδων ἀγωγῆς ἐν ταῖς διατριβαῖς ὁ αἱρεσιάρχης Ζήνων τοιαῦτά τινα διέξεισιν (sequuntur eadem verba, sed ἄλλα παιδικοῖς pro παιδικοῖς ἄλλα).

251 Sextus adv. math. XI 190. καὶ πάλιν (ὁ Ζήνων) „διαμεμήρικας τὸν ἐρώμενον; οὐκ ἔγωγε. πότερον οὐκ ἐπεθύμησας αὐτὸν διαμηρίσαι; καὶ μάλα. ἀλλ’ ἐπιθυμήσας παρασχεῖν σοι αὐτὸν [ἢ] ἐφοβήθης κελεῦσαι; μὰ Δί’. ἀλλ’ ἐκέλευσας; καὶ μάλα. εἶτ’ οὐχ ὑπηρέτησέ σοι; οὐ γάρ.“

252 Plutarchus quaest. conviv. III 6, 1 p. 653e. ὡς ἔγωγε νὴ τὸν κύνα καὶ τοὺς Ζήνωνος ἂν ἐβουλόμην, ἔφη, διαμηρισμοὺς ἐν συμποσίῳ τινὶ καὶ παιδιᾷ μᾶλλον ἢ σπουδῆς τοσαύτης ἐχομένῳ συγγράμματι, τῇ Πολιτεί ᾳ, κατατετάχθαι.

253 Epiphanius adv. Haeres. III 36 (DDG p. 592). Ζήνων ὁ Κιτιεύς, ὁ Στωϊκὸς ἔφη .... τοὺς δὲ τελευτῶντας ζῴοις παραβάλλειν χρῆναι ἢ πυρί. καὶ τοῖς παιδικοῖς χρῆσθαι ἀκωλύτως.

254 Theophilus ad Autol. III 5 p. 119 C. τί σοι ἔδοξε τὰ Ζήνωνος ἢ τὰ Διογένους καὶ Κλεάνθους, ὁπόσα περιέχουσιν αἱ βίβλοι αὐτῶν διδάσκουσαι ἀνθρωποβορίας, πατέρας μὲν ὑπὸ ἰδίων τέκνων ἕψεσθαι καὶ βιβρώσκεσθαι καί, εἴ τις οὐ βούλοιτο ἢ μέρος τι τῆς μυσερᾶς τροφῆς ἀπορρίψειεν, αὐτὸν κατεσθίεσθαι τὸν μὴ φαγόντα;

255 Sextus Pyrrh. hypotyp. III 206. τό τε αἰσχρουργεῖν, ἐπάρατον ὂν παρ’ ἡμῖν, ὁ Ζήνων οὐκ ἀποδοκιμάζει.

256 Sextus Pyrrh. hypotyp. III 246. περὶ δὲ τῆς εἰς τοὺς γονεῖς ὁσιότητος ὁ αὐτὸς ἀνήρ (Ζήνων) φησιν εἰς τὰ περὶ τὴν Ἰοκάστην καὶ τὸν Οἰδίποδα, ὅτι οὐκ ἦν δεινὸν τρίβειν τὴν μητέρα· καὶ εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν ἀσθενοῦσαν ἕτερόν τι μέρος τοῦ σώματος τρίψας ταῖς χερσὶν ὠφέλει, οὐδὲν αἰσχρόν· εἰ δὲ ἕτερα μέρη τρίψας εὔφραινεν, ὀδυνωμένην παύσας, καὶ παῖδας ἐκ τῆς μητρὸς γενναίους ἐποίησεν, αἰσχρόν.— Sextus adv. math. XI 191. καί γε ὁ μὲν Ζήνων, τὰ περὶ τῆς Ἰοκάστης καὶ Οἰδίποδος θεὶς ἱστορούμενα, φησὶν ὅτι οὐκ ἦν δεινὸν τρῖψαι τὴν μητέρα. καί, εἰ μὲν ἀσθενοῦσαν τὸ σῶμα ταῖς χερσὶ τρίψας ὠφέλει, οὐδὲν αἰσχρόν· εἰ δὲ ἑτέρῳ μέρει τρίψας ἐφ' ᾧ εὗρεν ὀδυνωμένην παύσας καὶ παῖδας ἐκ τῆς μητρὸς γενναίους ποιήσας τί ἦν αἰσχρόν; —Pyrrh. hypotyp. III 205. ἀλλὰ καὶ ὁ Κιτιεὺς Ζήνων φησὶ μὴ ἄτοπον εἶναι τὸ μόριον τῆς μητρὸς τῷ ἑαυτοῦ μορίῳ τρῖψαι, καθάπερ οὐδὲ ἄλλο τι μέρος τοῦ σώματος αὐτῆς τῇ χειρὶ τρῖψαι φαῦλον ἂν εἴποι τις εἶναι.

257 Diogenes Laërt. VII 33. καὶ ἐσθῆτι δὲ τῇ αὐτῇ κελεύει χρῆσθαι ἄνδρας καὶ γυναῖκας καὶ μηδὲν μόριον ἀποκεκρύφθαι.

258 Seneca Epist. 104, 21. quod si convivere etiam Graecis juvat, cum Socrate, cum Zenone versare: alter te docebit mori, si necesse erit: alter, antequam necesse erit.

259 Diogenes Laërt. VII 32. ἔνιοι μέντοι (inter quos Cassius scepticus) ἐν πολλοῖς κατηγοροῦντες τοῦ Ζήνωνος, πρῶτον μὲν τὴν ἐγκύκλιον παιδείαν ἄχρηστον ἀποφαίνειν λέγοντα ἐν ἀρχῇ τῆς πολιτεία ς.

260 Plutarchus de Stoic. repugn. cp. 8 p. 1034f. τοῦτον δὲ τὸν λόγον ἐρωτήσας (scil. Zeno), ἀντέγραψε μὲν πρὸς τὴν Πλάτωνος Πολιτείαν etc.

261 Plutarchus vita Lycurg. 31. ταύτην (Lycurgi rem publicam) καὶ Πλάτων ἔλαβε τῆς πολιτείας ὑπόθεσιν καὶ Διογένης καὶ Ζήνων καὶ πάντες ὅσοι τι περὶ τούτων ἐπιχειρήσαντες εἰπεῖν ἐπαινοῦνται, γράμματα καὶ λόγους ἀπολιπόντες μόνον.

262 Plutarchus de Alex. virt. I 6 p. 329a. καὶ μὴν ἡ πολὺ θαυμαζομένη πολιτεία τοῦ τὴν Στωικῶν αἵρεσιν καταβαλομένου Ζήνωνος εἰς ἓν τοῦτο συντείνει κεφάλαιον, ἵνα μὴ κατὰ πόλεις μηδὲ κατὰ δήμους οἰκῶμεν, ἰδίοις ἕκαστοι διωρισμένοι δικαίοις, ἀλλὰ πάντας ἀνθρώπους ἡγώμεθα δημότας καὶ πολίτας, εἷς δὲ βίος ᾖ καὶ κόσμος, ὥσπερ ἀγέλης συννόμου νόμῳ κοινῷ συντρεφομένης. τοῦτο Ζήνων μὲν ἔγραψεν ὥσπερ ὄναρ ἢ εἴδωλον εὐνομίας φιλοσόφου καὶ πολιτείας ἀνατυπωσάμενος: id. de Stoic. rep. cp. 2, 1 p. 1033b. ἐπεὶ τοίνυν πολλὰ μὲν ὡς ἐν λόγοις αὐτῷ Ζήνωνι ... γεγραμμένα τυγχάνει περὶ πολιτείας καὶ τοῦ ἄρχεσθαι καὶ ἄρχειν καὶ δικάζειν καὶ ῥητορεύειν.— Johannes Chrysost. Hom. I in Matth. 4. οὐ γὰρ καθάπερ Πλάτων ὁ τὴν καταγέλαστον ἐκείνην πολιτείαν συνθεὶς καὶ Ζήνων καὶ εἴ τις ἕτερος πολιτείαν ἔγραψεν ἢ νόμους συνέθηκεν.

263 Athenaeus XIII 561 C. Ποντιανὸς δὲ Ζήνωνα ἔφη τὸν Κιτιέα ὑπολαμβάνειν τὸν Ἔρωτα θεὸν εἶναι φιλίας καὶ ἐλευθερίας, ἔτι δὲ καὶ ὁμονοίας παρασκευαστικόν, ἄλλου δ' οὐδενός. διὸ καὶ ἐν τῇ πολιτείᾳ ἔφη „τὸν Ἔρωτα θεὸν εἶναι, συνεργὸν ὑπάρχοντα πρὸς τὴν τῆς πόλεως σωτηρίαν."—Plutarchus vit. Lycurg. 31. οὐ μὴν τοῦτό γε τῷ Λυκούργῳ κεφάλαιον ἦν τότε, πλείστων ἡγουμένην ἀπολιπεῖν τὴν πόλιν, ἀλλ' ὥσπερ ἑνὸς ἀνδρὸς βίῳ καὶ πόλεως ὅλης νομίζων εὐδαιμονίαν ἀπ' ἀρετῆς ἐγγίνεσθαι καὶ ὁμονοίας τῆς πρὸς αὑτήν, πρὸς τοῦτο συνέταξε καὶ συνήρμοσεν, ὅπως ἐλευθέριοι καὶ αὐτάρκεις γενόμενοι καὶ σωφρονοῦντες ἐπὶ πλεῖστον χρόνον διατελῶσι. ταύτην καὶ Πλάτων ἔλαβε τῆς Πολιτείας ὑπόθεσιν καὶ Διογένης καὶ Ζήνων κ.τ.λ.

264 Clemens Alex. Strom. V 12, 76 p. 691 P. λέγει δὲ καὶ Ζήνων, ὁ τῆς Στωικῆς κτίστης αἱρέσεως, ἐν τᾷ τῆς πολιτείας βιβλίῳ μήτε ναοὺς δεῖν ποιεῖν μήτε ἀγάλματα· μηδὲν γὰρ εἶναι τῶν θεῶν ἄξιον κατασκεύασμα, καὶ γράφειν οὐ δέδιεν αὐταῖς λέξεσι τάδε· ἱερά τε οἰκοδομεῖν οὐδὲν δεήσει · ἱερὸν γὰρ μὴ πολλοῦ ἄξιον καὶ ἅγιον οὐδὲν χρὴ νομίζειν · οὐδὲν δὲ πολλοῦ ἄξιον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἅγιον οἰκοδόμων ἔργον καὶ βαναύσω ν.—Plutarchus de Stoic. rep. cp. 6, 1 p. 1034b. ἔτι δόγμα Ζήνωνος ἔστιν· ἱερὰ θεῶν μὴ οἰκοδομεῖν· ἱερὸν γὰρ μὴ πολλοῦ ἄξιον καὶ ἅγιον οὐκ ἔστιν· οἰκοδόμων δ' ἔργον καὶ βαναύσων οὐδέν ἐστι πολλοῦ ἄξιον.—Theodoretus Gr. Aff. Cur. III 74 p. 89, 7 Ra. ταῦτα συνορῶν καὶ Ζήνων ὁ Κιτιεὺς ἐν τῷ τῆς Πολιτείας ἀπαγορεύει βιβλίῳ καὶ ναοὺς οἰκοδομεῖν καὶ ἀγάλματα τεκταίνειν· οὐδὲν γὰρ εἶναι τούτων φησὶν θεῶν ἄξιον κατασκεύασμα. —Epiphanius adv. haeres. III 36. Ζήνων ὁ Κιτιεὺς ὁ Στωικὸς ἔφη μὴ δεῖν θεοῖς οἰκοδομεῖν ἱερά.

265 Origenes c. Celsum I 5 Vol. I p. 59, 3 Kö. (p. 324 Del.). προσθήσομεν δὲ καὶ ἡμεῖς ὅτι καὶ ὁ Ζήνων ὁ Κιτιεὺς ἐν τῇ Πολιτείᾳ φησί ν· „ἱερά τε οἰκοδομεῖν οὐδὲν δεήσει· ἱερὸν γὰρ οὐδὲν χρὴ νομίζειν οὐδὲ πολλοῦ ἄξιον καὶ ἅγιον οἰκοδόμων τε ἔργον καὶ βαναύσων.“

266 Stobaeus Floril. 43, 88 Mein. Ζήνων ἔφη δεῖν τὰς πόλεις κοσμεῖν οὐκ ἀναθήμασιν ἀλλὰ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

267 Cassius scepticus ap. Diog. Laërt. VII 33. καὶ κατὰ τοὺς διακοσίους 〈στίχουσ〉 μηθ' ἱερὰ μήτε δικαστήρια μήτε γυμνάσια ἐν ταῖς πόλεσιν οἰκοδομεῖσθαι (scil. δογματίζειν τὸν Ζήνωνα).

268 Diogenes Laërt. VII 33. περί τε νομίσματος οὕτως γράφειν „νόμισμα δ' οὔτ' ἀλλαγῆς ἕνεκεν οἴεσθαι δεῖν κατασκευάζειν οὔτ' ἀποδημίας ἕνεκεν.“

269 Diogenes Laërt. VII 131. ἀρέσκει δὲ αὐτοῖς καὶ κοινὰς εἶναι τὰς γυναῖκας δεῖν παρὰ τοῖς σοφοῖς, ὥστε τὸν ἐντυχόντα τῇ ἐντυχούσῃ χρῆσθαι, καθά φησι Ζήνων ἐν τῇ πολιτεί ᾳ.—ib. 33. κοινάς τε τὰς γυναῖκας δογματίζειν, ὁμοίως Πλάτωνι, ἐν τῇ πολιτεί ᾳ.

270 Diogenes Laërt. VII 121. καὶ γαμήσειν, ὡς ὁ Ζήνων φησὶν ἐν τῇ πολιτεί ᾳ, (τὸν σοφόν) καὶ παιδοποιήσεσθαι.

271 Seneca de Otio cp. 3, 2 Gertz. Zenon ait: accedet ad rempublicam (sapiens), nisi si quid impedierit.— id. de Tranq. An. I 7. Promptus compositus sequor Zenona, Cleanthem, Chrysippum; quorum tamen nemo ad rempublicam accessit, at nemo non misit.

272 Diogenes Laërt. VI 91. Ζήνων δ' αὖ ὁ Κιτιεὺς ἐν ταῖς χρείαις καὶ κώδιον αὐτὸν (scil. Cratetem) φησί ποτε προσράψαι τῷ τρίβωνι ἀνεπιστρεπτοῦντα.

273 Stobaeus Floril. 95, 21 Mein. Ζήνων ἔφη Κράτητα ἀναγιγνώσκειν ἐν σκυτείῳ καθήμενον τὸν Ἀριστοτέλους προτρεπτικόν, ὃν ἔγραψε πρὸς Θεμίσωνα τὸν Κυπρίων βασιλέα λέγων, ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι, πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν, ὥστε δαπανᾶν εἰς ταῦτα, ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῷ. ἀναγιγνώσκοντος δὲ αὐτοῦ τὸν σκυτέα ἔφη προσέχειν ἅμα ῥάπτοντα. καὶ τὸν Κράτητα εἰπεῖν· „ἐγώ μοι δοκῶ, ὦ Φιλίσκε, γράψειν πρὸς σὲ προτρεπτικόν· πλείω γὰρ ὁρῶ σοι ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι ὧν ἔγραψεν Ἀριστοτέλησ“

274 Dio Prus. LIII 4. γέγραφε δὲ καὶ Ζήνων ὁ φιλόσοφος εἴς τε τὴν ᾿Ιλιάδα καὶ τὴν ᾿Οδύσσειαν, καὶ περὶ τοῦ Μαργίτου δέ· δοκεῖ γὰρ καὶ τοῦτο τὸ ποίημα ὑπὸ ῾Ομήρου γεγονέναι νεωτέρου καὶ ἀποπειρωμένου τῆς αὑτοῦ φύσεως πρὸς ποίησιν. ὁ δὲ Ζήνων οὐδὲν τῶν [τοῦ] ῾Ομήρου ψέγει, ἅμα διηγούμενος καὶ διδάσκων ὅτι τὰ μὲν κατὰ δόξαν, τὰ δὲ κατὰ ἀλήθειαν γέγραφεν, ὅπως μὴ φαίνηται αὐτὸς αὑτῷ μαχόμενος ἔν τισι δοκοῦσιν ἐναντίως εἰρῆσθαι. ὁ δὲ λόγος οὗτος Ἀντισθένους ἐστὶ πρότερον, ὅτι τὰ μὲν δόξῃ, τὰ δὲ ἀληθείᾳ εἴρηται τῷ ποιητῇ· ἀλλ' ὁ μὲν οὐκ ἐξειργάσατο αὐτόν, ὁ δὲ καθ' ἕκαστον τῶν ἐπὶ μέρους ἐδήλωσεν.

275 Strabo I p. 41. περὶ δὲ τῶν Ἐρεμβῶν πολλὰ μὲν εἴρηται, πιθανώτατοι δ' εἰσὶν οἱ νομίζοντες τοὺς Ἄραβας λέγεσθαι. Ζήνων δ' ὁ ἡμέτερος καὶ γράφει οὕτως· „Αἰθίοπας θ' ἱκόμην καὶ Σιδονίους Ἄραβάς τε.“ τὴν μὲν οὖν γραφὴν οὐκ ἀνάγκη κινεῖν παλαιὰν οὖσαν etc. Versus est δ 84. eadem Strabo refert VII p. 299. εἰ μὴ Ζήνωνι τῷ φιλοσόφῳ προσεκτέον γράφοντι· (sequitur vs. ut supra) et XVI p. 784. ἀλλὰ μᾶλλον περὶ τῶν Ἐρεμβῶν ἡ ζήτησις, εἴτε τοὺς Τρωγλοδύτας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπονοητέον λέγεσθαι——εἴτε τοὺς Ἄραβας· ὁ μὲν οὖν Ζήνων ὁ ἡμέτερος μεταγράφει οὕτως „καὶ Σιδονίους Ἄραβάς τε.“

276 Diogenes Laërt. VIII 48. ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον (scil. Pythagoram) ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην· ὡς δὲ Θεόφραστος Παρμενίδην· ὡς δὲ Ζήνων Ἡσίοδον.

277 Plutarchus de capienda ex inim. utilitate 2 p. 87a. Ζήνων δέ, τῆς ναυκληρίας αὐτῷ συντριβείσης, πυθόμενος εἶπεν, εὖ γε, ὦ τύχη, ποιεῖς εἰς τὸν τρίβωνα συνελαύνουσα ἡμᾶς.—id. de tranq. An. 6 p. 467c. Ζήνωνι τῷ Κιτιεῖ μία ναῦς περιῆν φορτηγός· πυθόμενος δὲ ταύτην αὐτόφορτον ἀπολωλέναι συγκλυσθεῖσαν, εὖ γε, εἶπεν, ὦ τύχη, ποιεῖς, εἰς τὸν τρίβωνα καὶ τὴν στοὰν συνελαύνουσα ἡμᾶς.—id. de Exilio 11 p. 603d. eadem narrat, sed in dicto Zenonis καὶ βίον φιλόσοφον pro καὶ τὴν στοάν.—Diogenes Laërt. VII 5. ἄλλοι δὲ διατρίβοντα ἐν ταῖς Ἀθήναις ἀκοῦσαι τὴν ναυαγίαν καὶ εἰπεῖν· „εὖ γε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ.“—Senec. de tranq. An. 14,2. Nuntiato naufragio Zeno noster, quum omnia sua audiret submersa, „Iubet“ inquit „me fortuna expeditius philosophari.“

278 Diogenes Laërt. VII 24. φησὶ δ’ Ἀπολλώνιος ὁ Τύριος ἕλκοντος αὐτὸν Κράτητος τοῦ ἱματίου ἀπὸ Στίλπωνος εἰπεῖν „ὦ Κράτης, λαβὴ φιλοσόφων ἐστὶν ἐπιδέξιος ἡ διὰ τῶν ὤτων· πείσας οὖν ἕλκε τούτων. εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα παρὰ σοὶ ἔσται, ἡ δὲ ψυχὴ παρὰ Στίλπωνι.“

279 Diogenes Laërt. VII 25. καὶ πρὸς τὸν δείξαντα δὲ αὐτῷ διαλεκτικὸν ἐν τῷ θερίζοντι λόγῳ ἑπτὰ διαλεκτικὰς ἰδέας πυθέσθαι, πόσας εἰσπράττεται μισθοῦ· ἀκούσαντα δὲ ἑκατόν, διακοσίας αὐτῷ δοῦναι.

280 Plutarchus de prof. in virt. c. 6 p. 78e. ὁ δὲ Ζήνων ὁρῶν τὸν Θεόφραστον ἐπὶ τῷ πολλοὺς ἔχειν μαθητὰς θαυμαζόμενον, „ὁ ἐκείνου μὲν χορός, ἔφη, μείζων, οὑμὸς δὲ συμφωνότερος.“—idem περὶ τοῦ ἑαυτὸν ἐπαινεῖν ἀνεπιφθόνως c. 17. p. 545f. οὕτω γὰρ ὁ Ζήνων πρὸς τὸ πλῆθος τῶν Θεοφράστου μαθητῶν „ὁ ἐκείνου χορός, ἔφη, μείζων, ὁ ἐμὸς δὲ συμφωνότερος.“

281 Gnomologion Monac. 196 (Gnomol. Vatic. ed. Sternb. 295). Ζήνων ὁ φιλόσοφος, λεγόντων τινῶν ὅτι παράδοξα λέγει, εἶπεν „ἀλλ’ οὐ παράνομα.“

282 Chrysippus ap. Galen. de Hipp. et Plat. plac. III 5 (V p. 322K., p. 288 Iu. Mueller). ὅ τε Ζήνων πρὸς τοὺς ἐπιλαμβανομένους, ὅτι πάντα τὰ ζητούμενα εἰς τὸ στόμα φέρει, ἔφησεν „ἀλλ’ οὐ πάντα καταπίνεται.“

283 Diogenes Laërt. VII 24. ἐρωτηθεὶς πῶς ἔχει πρὸς λοιδορίαν „καθάπερ, εἶπεν, εἰ πρεσβευτὴς ἀναπόκριτος ἀποστέλλοιτο.“

284 Diogenes Laërt. VII 24. ἐν συμποσίῳ κατακείμενος σιγῇ, τὴν αἰτίαν ἠρωτήθη. ἔφη οὖν τῷ ἐγκαλέσαντι ἀπαγγεῖλαι πρὸς τὸν βασιλέα, ὅτι παρῆν τις σιωπᾶν ἐπιστάμενος. ἦσαν δὲ οἱ ἐρωτήσαντες παρὰ Πτολεμαίου πρέσβεις ἀφικόμενοι καὶ βουλόμενοι μαθεῖν, τί εἴποιεν περὶ αὐτοῦ πρὸς τὸν βασιλέα.—Stob. Floril. 33, 10 (Vol. I p. 680 Hense). Ζήνων, Ἀντιγόνου πρέσβεις Ἀθήναζε πέμψαντος, κληθεὶς ὑπ’ αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὐτῶν ἕξιν, αὐτὸς ἐσίγα. τῶν δὲ πρέσβεων ζητούντων τί ἀπαγγείλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονον, „τοῦτ’ αὐτό,“ ἔφη, „ὃ βλέπετε.“ δυσκρατέστατον γὰρ πάντων ὁ λόγος. —Plutarchus de garrul. 4 p. 504a. Ἀθήνησι δέ τις ἑστιῶν πρέσβεις βασιλικοὺς ἐφιλοτιμήθη σπουδάζουσιν αὐτοῖς συναγαγεῖν εἰς ταὐτὸ τοὺς φιλοσόφους· χρωμένων δὲ τῶν ἄλλων κοινολογίᾳ καὶ τὰς συμβολὰς ἀποδιδόντων, τοῦ δὲ Ζήνωνος ἡσυχίαν ἄγοντος, φιλοφρονησάμενοι καὶ προπιόντες οἱ ξένοι „περὶ σοῦ δὲ τί χρὴ λέγειν, ἔφασαν, ὦ Ζήνων, τῷ βασιλεῖ;“ κἀκεῖνος, „ἄλλο μηδέν, εἶπεν, ἢ ὅτι πρεσβύτης ἐστὶν ἐν Ἀθήναις παρὰ πότον σιωπᾶν δυνάμενοσ“ (Theodor. Metoch. p. 334, Kiessling. adfert Pearson).

285

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Athenaeus II 55 F. διὸ καὶ Ζήνων ὁ Κιτιεύς, σκληρὸς ὢν καὶ πάνυ θυμικὸς πρὸς τοὺς γνωρίμους, ἐπὶ πλεῖον τοῦ οἴνου σπάσας ἡδὺς ἐγίνετο καὶ μείλιχος· πρὸς τοὺς πυνθανομένους οὖν τοῦ τρόπου τὴν διαφορὰν ἔλεγε τὸ αὐτὸ τοῖς θέρμοις πάσχειν· καὶ γὰρ ἐκείνους πρὶν διαβραχῆναι πικροτάτους εἶναι, ποτισθέντας δὲ γλυκεῖς καὶ προσηνεστάτους.—Galenus de anim. mor. 3 (Vol. IV p. 777 K.). καὶ Ζήνων, ὥς φασιν, ἔλεγεν ὅτι, καθάπερ οἱ πικροὶ θέρμοι βρεχόμενοι τῷ ὕδατι γλυκεῖς γίνονται, οὕτω καὶ αὑτὸν ὑπ' οἴνου διατίθεσθαι.—Eustathius ad Hom. Od. φ 293 p. 1910, 42. Ζήνων οὖν, φασίν, ὁ Κιτιεύς, σκληρὸς ἄλλως ὢν πρὸς τοὺς συνήθεις, ὅμως εἰ πλεῖον οἴνου σπάσειε, ἡδὺς ἐγίνετο καὶ μείλιχος, λέγων ταὐτόν τι τοῖς θέρμοις πάσχειν, οἳ πικρότεροι ὄντες πρὶν διαβραχῆναι, ποτισθέντες γλυκεῖς γίνονται καὶ προσηνέστεροι.—Diogenes Laërt. VII 26. ἐρωτηθεὶς διὰ τί αὐστηρὸς ὢν ἐν τῷ πότῳ διαχεῖται ἔφη „καὶ οἱ θέρμοι πικροὶ ὄντες βρεχόμενοι γλυκαίνονται."

286 Diogenes Laërt. VII 17. ἐρωτικῶς δὲ διακείμενος Χρεμωνίδου, παρακαθιζόντων αὐτοῦ τε καὶ Κλεάνθους, ἀνέστη. θαυμάζοντος δὲ τοῦ Κλεάνθους ἔφη „καὶ τῶν ἰατρῶν ἀκούω τῶν ἀγαθῶν, κράτιστον εἶναι φάρμακον πρὸς τὰ φλεγμαίνοντα ἡσυχίαν."

287 Musonius περὶ τροφῆς ap. Stob. Floril. 17, 42 (Vol. I p. 506 Hense). Ζήνων δὲ ὁ Κιτιεὺς οὐδὲ νοσῶν ᾤετο δεῖν τροφὴν προσφέρεσθαι τρυφερωτέραν, ἀλλ' ἐπεὶ ὁ θεραπεύων ἰατρὸς ἐκέλευεν αὐτὸν φαγεῖν νεοττὸν περιστερᾶς, οὐκ ἀνασχόμενος, „ὡς Μάνην," ἔφη, „με θεράπευε." ἠξίου γὰρ οἶμαι μηδὲν μαλακώτερον ἐν τῇ θεραπείᾳ γίνεσθαι αὐτῷ ἢ τῶν δούλων τινὶ νοσοῦντι.

288 Diogenes Laërt. VII 28, 29. ἐτελεύτα δὴ οὕτως. ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε. παίσας δὲ τὴν γῆν τῇ χειρί, φησὶ τὸ ἐκ τῆς Νιόβης, ἔρχομαι, τί μ' αὔεις; καὶ παραχρῆμα ἐτελεύτησεν, ἀποπνίξας ἑαυτόν.—Stobaeus Floril. VII 44 (Vol. I p. 321 Hense). Ζήνων, ὡς ἤδη γέρων ὢν πταίσας κατέπεσεν, „ἔρχομαι," εἶπε, „τί με αὔεις;" καὶ εἰσελθὼν ἑαυτὸν ἐξήγαγεν.—Lucianus Macrob. 19. Ζήνων δέ ... ὅν φασιν εἰσερχόμενον εἰς τὴν ἐκκλησίαν καὶ προσπταίσαντα ἀναφθέγξασθαι „τί με βοᾷς;" καὶ ὑποστρέψαντα οἴκαδε καὶ ἀποσχόμενον τροφῆς τελευτῆσαι τὸν βίον.

289 Aelianus Var. Hist. IX 26. Ζήνωνα τὸν Κιτιέα δι' αἰδοῦς ἄγαν καὶ σπουδῆς ἦγεν Ἀντίγονος ὁ βασιλεύς. καί ποτε οὖν ὑπερπλησθεὶς οἴνου ἐπεκώμασε τῷ Ζήνωνι, καὶ φιλῶν αὐτὸν καὶ περιβάλλων ἅτε ἔξοινος ὤν, ἠξίου τι αὐτὸν προστάξαι, ὀμνὺς καὶ νεανιευόμενος σὺν ὅρκῳ, μὴ ἀτυχήσειν τῆς αἰτήσεως. ὁ δὲ λέγει αὐτῷ „πορευθεὶς ἔμεσον" σεμνῶς ἅμα καὶ μεγαλοφρόνως τὴν μέθην ἐλέγξας καὶ φεισάμενος αὐτοῦ, μή ποτε διαῤῥαγῇ ὑπὸ πλησμονῆς.

290 Athenaeus VIII 345 C. Ζήνων δ' ὁ Κιτιεὺς ὁ τῆς Στοᾶς κτίστης, πρὸς τὸν ὀψοφάγον, ᾧ συνέζη ἐπὶ πλείονα χρόνον, καθά φησιν Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ Ζήνωνος βίῳ (p. 119 Wil.). μεγάλου τινὸς κατὰ τύχην ἰχθύος παρατεθέντος, ἄλλου δ' οὐδενὸς παρεσκευασμένου, λαβὼν ὅλον ὁ Ζήνων ἀπὸ τοῦ πίνακος οἷος ἦν κατεσθίειν. τοῦ δ' ἐμβλέψαντος αὐτῷ· τί οὖν, ἔφη, τοὺς συζῶντάς σοι οἴει πάσχειν, εἰ σὺ μίαν ἡμέραν μὴ δεδύνησαι ἐνεγκεῖν ὀψοφαγίαν;

291 Athenaeus V 186 D. ὁ δὲ Ζήνων, ἐπεί τις τῶν παρόντων ὀψοφάγων ἀπέσυρεν ἅμα τῷ παρατεθῆναι τὸ ἐπάνω τοῦ ἰχθύος, στρέψας καὶ αὐτὸς τὸν ἰχθὺν ἀπέσυρεν ἐπιλέγων· (Eur. Bacch. 1129) Ἰνὼ δὲ τἀρὶ θάτερ' ἐξειργάζετο.

292 Diogenes Laërt. VII 17. δυοῖν δ' ὑπανακειμένοιν ἐν πότῳ, καὶ τοῦ ὑπ' αὐτὸν τὸν ὑφ' ἑαυτὸν σκιμαλίζοντος τῷ ποδί, αὐτὸς ἐκεῖνον τῷ γόνατι. ἐπιστραφέντος δέ „τί οὖν οἴει τὸν ὑποκάτω σου πάσχειν ὑπὸ σοῦ;" Suidas s. v. σκιμαλίσω.

293 Diogenes Laërt. VII 16, 17. οἷον ἐπὶ τοῦ καλλωπιζομένου ποτὲ ἔφη. ὀχετίον γάρ τι ὀκνηρῶς αὐτοῦ ὑπερβαίνοντος „δικαίως, εἶπεν, ὑφορᾷ τὸν πηλόν· οὐ γὰρ ἔστιν ἐν αὐτῷ κατοπτρίσασθαι."

294 Stobaeus Floril. 15, 12 (Vol. I p. 479 Hense). Ζήνων πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς αὑτῶν ἀσωτίας καὶ λέγοντας ἐκ πολλοῦ τοῦ περιόντος ἀναλίσκειν ἔλεγεν „ἦ που καὶ τοῖς μαγείροις συγγνώσεσθε, ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπῆρχεν;“

295 Diogenes Laërt. VII 18. πρὸς δὲ τὸν φιλόπαιδα, οὔτε τοὺς διδασκάλους ἔφη φρένας ἔχειν, ἀεὶ διατρίβοντας ἐν παιδαρίοις, οὔτε ἐκείνους.

296 Diogenes Laërt. VII 17. ὡς δὲ Κυνικός τις, οὐ φήσας ἔλαιον ἔχειν ἐν τῇ ληκύθῳ, προσῄτησεν αὐτόν, οὐκ ἔφη δώσειν. ἀπελθόντα μέντοι ἐκέλευε σκέψασθαι ὁπότερος εἴη ἀναιδέστερος.

297 Origenes contra Cels. VIII 35 p. 768. Ζήνων δὲ πρὸς τὸν εἰπόντα „ἀπολοίμην, ἐὰν μή σε τιμωρήσωμαι“ „ἐγὼ δέ, εἶπεν, ἐὰν μή σε φίλον κτήσωμαι.“

298 Diogenes Laërt. VII 23 δοῦλον ἐπὶ κλοπῇ, φασίν, ἐμαστίγου· τοῦ δ’ εἰπόντος „εἵμαρτό μοι κλέψαι“ ἔφη „καὶ δαρῆναι.“

299 Plutarchus de virt. mor. 4 p. 443a. καίτοι καὶ Ζήνωνά φασιν εἰς θέατρον ἀνιόντα κιθαρῳδοῦντος Ἀμοιβέως πρὸς τοὺς μαθητάς „ἴωμεν, εἰπεῖν, ὅπως καταμάθωμεν οἵαν ἔντερα καὶ νεῦρα καὶ ξύλα καὶ ὀστᾶ λόγου καὶ ἀριθμοῦ μετασχόντα καὶ τάξεως ἐμμέλειαν καὶ φωνὴν ἀφίησιν.“

300 Stobaeus Floril. 36, 26 (Vol. I p. 696 Hense). Ζήνων τῶν μαθητῶν ἔφασκεν τοὺς μὲν φιλολόγους εἶναι, τοὺς δὲ λογοφίλους.

301 Diogenes Laërt. VII 37. Κλεάνθης, ὃν καὶ ἀφωμοίου ταῖς σκληροκήροις δέλτοις, αἳ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα. Suid. s. v. δέλτος.

302 Diogenes Laërt. VII 18. Ἀρίστωνος δὲ τοῦ μαθητοῦ πολλὰ διαλεγομένου οὐκ εὐφυῶς, ἔνια δὲ καὶ προπετῶς καὶ θρασέως „ἀδύνατον, εἰπεῖν (scil. Zenonem), εἰ μή σε ὁ πατὴρ μεθύων ἐγέννησεν.“ ὅθεν αὐτὸν καὶ λάλον ἀπεκάλει, βραχυλόγος ὤν.

303 Diogenes Laërt. VII 23. Διονυσίου δὲ τοῦ Μεταθεμένου εἰπόντος αὐτῷ, διὰ τί αὐτὸν μόνον οὐ διορθοῖ, ἔφη „οὐ γάρ σοι πιστεύω.“

304 Stobaeus Floril. 36, 23 (Vol. I p. 696 Hense). τῶν τις ἐν Ἀκαδημίᾳ νεανίσκων περὶ ἐπιτηδευμάτων διελέγετο ἀφρόνως· ὁ δὲ Ζήνων „ἐὰν μὴ τὴν γλῶσσαν, ἔφη, εἰς νοῦν ἀποβρέξας διαλέγῃ, πολὺ πλείω ἔτι καὶ ἐν τοῖς λόγοις πλημμελήσεις.“—Plutarchus vita Phoc. c. 5. Ζήνων ἔλεγεν ὅτι δεῖ τὸν φιλόσοφον εἰς νοῦν ἀποβάπτοντα προφέρεσθαι τὴν λέξιν. ἀποβρέχων εἰς νοῦν.

305 Diogenes Laërt. VII 19. πρὸς δὲ τὸν φάσκοντα ὡς τὰ πολλὰ αὐτῷ Ἀντισθένης οὐκ ἀρέσκοι, χρείαν Σοφοκλέους προενεγκάμενος, ἠρώτησεν εἴ τινα καὶ καλὰ ἔχειν αὐτῷ δοκεῖ. τοῦ δ’ οὐκ εἰδέναι φήσαντος „εἶτ’ οὐκ αἰσχύνῃ, ἔφη, εἰ μέν τι κακὸν ἦν εἰρημένον ὑπ’ Ἀντισθένους, τοῦτ’ ἐκλεγόμενος καὶ μνημονεύων, εἰ δέ τι καλόν, οὐδ’ ἐπιβαλλόμενος κατέχειν;“

306 Diogenes Laërt. VII 20. λέγοντος δέ τινος αὐτῷ περὶ Πολέμωνος, ὡς ἄλλα προθέμενος ἄλλα λέγει, σκυθρωπάσας ἔφη „πόσου γὰρ 〈ἂν〉 ἠγάπας τὰ διδόμενα;“

307 Diogenes Laërt. VII 21. καὶ προεφέρετο τὰ τοῦ Καφισίου· ὃς ἐπιβαλομένου τινὸς τῶν μαθητῶν μεγάλα φυσᾶν, πατάξας εἶπεν, ὡς οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἴη, ἀλλ’ ἐν τῷ εὖ τὸ μέγα.

308 Diogenes Laërt. VII 20. τοῖς εὖ λεγομένοις οὐκ ἔφη δεῖν καταλείπεσθαι τόπον, ὥσπερ τοῖς ἀγαθοῖς τεχνίταις, εἰς τὸ θεάσασθαι· τοὐναντίον δὲ τὸν ἀκούοντα οὕτω πρὸς τοῖς λεγομένοις γίνεσθαι, ὥστε μὴ λαμβάνειν χρόνον εἰς τὴν ἐπισημείωσιν.

309

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Diogenes Laërt. VII 22. μὴ τὰς φωνὰς καὶ τὰς λέξεις δεῖν ἀπομνημονεύειν, ἀλλὰ περὶ τὴν διάθεσιν τῆς χρείας τὸν νοῦν ἀσχολεῖσθαι, μὴ ὥσπερ ἕψησίν τινα ἢ σκευασίαν ἀναλαμβάνοντας.

310 Stobaeus Floril. 36, 19 (Vol. I p. 694 Hense). Ζήνων πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκούειν „νεανίσκε,“ εἶπεν, „ἡ φύσις ἡμῖν γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν, ἵνα διπλασίονα ὧν λέγομεν ἀκούωμεν.“—Diogenes Laërt. VII 23. πρὸς τὸ φλυαροῦν μειράκιον „διὰ τοῦτο, εἶπε, δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἥττονα δὲ λέγωμεν.“ μεμφομένων ὅτι μίαν μὲν γλῶτταν, δύο δ’ ὦτα ἔχουσιν.—id. de audiendo 3 p. 39b. καὶ γὰρ τὸν Ἐπαμειμώνδαν ὁ Σπίνθαρος ἐπαινῶν ἔφη μήτε πλείονα γινώσκοντι μήτε ἐλάττονα φθεγγομένῳ ῥαδίως ἐντυχεῖν ἑτέρῳ. καὶ τὴν φύσιν ἡμῶν ἑκάστῳ λέγουσι δύο μὲν ὦτα δοῦναι, μίαν δὲ γλῶτταν, ὡς ἐλάττονα λέγειν ἢ ἀκούειν ὀφείλοντι.

311 Diogenes Laërt. VII 21. νεανίσκου πολλὰ λαλοῦντος ἔφη „τὰ ὦτά σου εἰς τὴν γλῶτταν συνεῤῥύηκεν.“

312 Stobaeus Floril. 57, 12. Ζήνων ὁ Στωικὸς φιλόσοφος ὁρῶν τινα τῶν γνωρίμων ὑπὸ τοῦ ἀγρίου περισπώμενον εἶπεν· „ἐὰν μὴ σὺ τοῦτον ἀπολέσῃς, οὗτος σὲ ἀπολέσει.“

313 Plutarchus de vit. pud. 13 p. 534a. τὸ τοῦ Ζήνωνος, ὃ ἀπαντήσας τινὶ νεανίσκῳ τῶν συνήθων παρὰ τὸ τεῖχος ἡσυχῇ βαδίζοντι καὶ πυθόμενος ὅτι φεύγει φίλον ἀξιοῦντα μαρτυρεῖν αὐτῷ τὰ ψευδῆ· „τί λέγεις, φησίν, ἀβέλτερε; σὲ μὲν ἐκεῖνος ἀγνωμονῶν καὶ ἀδικῶν οὐ δέδιεν οὐδ’ αἰσχύνεται· σὺ δ’ ἐκεῖνον ὑπὲρ τῶν δικαίων οὐ θαῤῥεῖς ὑποστῆναι;“

314 Diogenes Laërt. VII 19. μειρακίου δὲ περιεργότερον παρὰ τὴν ἡλικίαν ἐρωτῶντος ζήτημά τι, προσήγαγε πρὸς κάτοπτρον καὶ ἐκέλευσεν ἐμβλέψαι. ἔπειτ’ ἠρώτησεν εἰ δοκεῖ αὐτῷ ἁρμόττοντα εἶναι ὄψει τοιαύτῃ τοιαῦτα ζητήματα.

315 Diogenes Laërt. VII 21. νεανίσκου δέ τινος θρασύτερον διαλεγομένου „οὐκ ἂν εἴποιμι, ἔφη, μειράκιον, ἃ ἐπέρχεταί μοι.“

316 Diogenes Laërt. VII 21. πρὸς τὸν καλὸν εἰπόντα ὅτι οὐ δοκεῖ αὐτῷ ἐρασθήσεσθαι ὁ σοφός „οὐδέν, ἔφη, ὑμῶν ἀθλιώτερον ἔσεσθαι τῶν καλῶν.“

317 Diogenes Laërt. VII 22. πάντων ἔλεγεν ἀπρεπέστερον εἶναι τὸν τῦφον, καὶ μάλιστα ἐπὶ τῶν νέων.

318 Diogenes Laërt. VII 23. πρὸς τὸν κεχρισμένον τῷ μύρῳ, „τίς ἐστιν, ἔφη, ὁ γυναικὸς ὄζων;“

319 Stobaeus Ecl. II 31, 81 p. 215, 13 W. = Exc. e MS. Flor. Iohan. Damasc. p. II c. 13,81. Ζήνων ἐρωτηθείς, πῶς ἄν τις νέος ἐλάχιστα ἁμαρτάνοι „εἰ πρὸ ὀφθαλμῶν ἔχοι, ἔφη, οὓς μάλιστα τιμᾷ καὶ αἰσχύνεται.“

320 Diogenes Laërt. VII 23. τῶν γνωρίμων τινὸς παιδάριον μεμωλωπισμένον θεασάμενος, πρὸς αὐτόν „ὁρῶ σου, ἔφη, τοῦ θυμοῦ τὰ ἴχνη.“

321 Diogenes Laërtius VII 23. ἔλεγε δὲ (scil. ὁ Ζήνων) μηδὲν εἶναι τῆς οἰήσεως ἀλλοτριώτερον πρὸς κατάληψιν τῶν ἐπιστημῶν.

322 Gnomologion Monacense 198. ὁ αὐτὸς (Ζήνων) ἔφη τὴν μὲν ὅρασιν ἀπὸ τοῦ ἀέρος λαμβάνειν τὸ φῶς, τὴν δὲ ψυχὴν ἀπὸ τῶν μαθημάτων.

323 Stobaeus Floril. 98, 68 Mein. Ζήνων ἔλεγεν οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι ὡς χρόνου. βραχὺς γὰρ ὄντως ὁ βίος, ἡ δὲ τέχνη μακρή, καὶ μᾶλλον ἡ τὰς τῆς ψυχῆς νόσους ἰάσασθαι δυναμένη.—Diogenes Laërt. VII 23. μηδενός τε ἡμᾶς οὕτως εἶναι ἐνδεεῖς ὡς χρόνου.

324 Gnomologion Monac. 197. ὁ αὐτὸς (Ζήνων) ἐρωτηθεὶς τί ἔστι φίλος „ἄλλος, 〈ἔφη〉, οἷος ἐγώ.“—Diogenes Laërt. VII 23. ἐρωτηθεὶς τίς ἔστι φίλος; ἄλλος, ἔφη, ἐγώ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

325 Diogenes Laërt. VII 26. τὸ εὖ γίνεσθαι μὲν παρὰ μικρόν, οὐ μὴν μικρὸν εἶναι.

326 Maximus serm. 26 (Boissonade Anecd. Gr. Vol. I p. 450). Ζήνωνος· Ζῆθι, ὦ ἄνθρωπε, μὴ μόνον ἵνα φάγῃς καὶ πίῃς, ἀλλ’ ἵνα τὸ ζῆν πρὸς τὸ εὖ ζῆν καταχρήσῃ.

327 Diogenes Laërt. VII 20. δεῖν δὲ ἔφη τόνῳ διαλεγόμενον, ὥσπερ τοὺς ὑποκριτάς, τὴν μὲν φωνὴν καὶ τὴν δύναμιν μεγάλην ἔχειν· τὸ μέντοι στόμα μὴ διέλκειν· ὃ ποιεῖν τοὺς πολλὰ μὲν λαλοῦντας, ἀδύνατα δέ.

328 Diogenes Laërt. VII 20. εἰπόντος δέ τινος ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν φιλοσόφων „λέγεις, εἶπε, τἀληθῆ. δεῖ μέντοι καὶ τὰς συλλαβὰς αὐτῶν, εἰ δυνατόν, βραχείας εἶναι.“

329 Diogenes Laërt. VII 26. ἔλεγέ τε κρεῖττον εἶναι τοῖς ποσὶν ὀλισθεῖν ἢ τῇ γλώττῃ.

330 Diogenes Laërt. VII 23. τὸ κάλλος εἶπε τῆς φωνῆς ἄνθος εἶναι· οἱ δὲ τοῦ κάλλους τὴν φωνήν.

331 Diogenes Laërt. VII 21. ἔλεγε δὲ καὶ τῶν φιλοσόφων τοὺς πλείστους τὰ μὲν πολλὰ ἀσόφους εἶναι, τὰ δὲ μικρὰ καὶ τυχηρὰ ἀμαθεῖς.

332 [Theodor. Metoch. p. 812 Kiessling. καὶ ὁ μὲν Ζήνων ἔλεγεν „ἦλθε, παρῆλθεν, οὐδὲν πρὸς ἐμὲ καθόλου,“ περὶ τῶν ἐνταῦθα πραγμάτων καὶ τοῦ βίου φιλοσοφῶν.]

Eulogikon public reading copy · View original HTML at eulogikon.org